
HARVARD
UNIVERSITY
LIBRARY


SIGILL: COLL: HARVARD: CANTAB: NOV: ANGL: 1650.
CHRISTO ET ECCLESIAE
BOUGHT WITH
THE INCOME FROM
THE BEQUEST OF
ICHABOD TUCKER,
OF SALEM, MASS.
(Class of 1791.)


XENOPHONTIS

RESPVBLICA LACEDAEMONIORVM

RECENSUIT

GINVS PIERLEONI

BEROLINI
APUD WEIDMANNOS
MCMV


MAY 9 1906
LIBRARY.

PRAEFATIO.

Quod libelli de Lacedaemoniorum republica nova haec editio in lucem prodit multis debeo; in primis cl. v. H. Diels cuius nomine hanc quoque editionem ornare mihi licuit, qui consilio et opera me adiuvit liberalissimoque editori Weidmanno opus meum commendavit. Ad quod conficiendum adgressus quamquam spe tenebar fore ut ex codicibus nondum inspectis aliqua hic illic medela huic libello accresceret, intellegebam tamen corruptiorem esse totius libri condicionem quam ut singulis lectionibus sanari posset. Igitur cave credas te genuinum iam textum prae manibus esse habiturum, pleniorem tamen quam in superioribus editionibus et accuratiorem adparatum quem dicunt criticum invenies.

Maius quidem adiumentum quam adfert adferre posset Plutarchus, qui in Lycurgi vita componenda hoc opusculum prae oculis habuit, nisi scriptoris sententiis saepe usus, semel tantum nomen Xenophontis citasset. Equidem omnes locos in quibus scripturae Xenophonteae vestigium vel leve appareret in medium attuli, ut auxilia ad textum emendandum vel minima praesto essent. Secundas autem habent (ceteros enim missos facio qui verba vel singula vel pauca admodum ex hoc libello expresserunt, Pollucem, Pseudo-Longinum, Harpocrationem, Lexicon Berolinense) excerpta J. Stobaei.[1] Cuius discrepantiam ex schedis erui quas

1) Flor. XLIV 24. Opusculi Xenophontei tmemata nullo interstitio in Stobaei libris inter se iungi, in singulas eclogas Gaisfordium praecedente Gesnero dispescuisse monet Hense.

PRAEFATIO.

Quod libelli de Lacedaemoniorum republica nova haec editio in lucem prodit multis debeo; in primis cl. v. H. Diels cuius nomine hanc quoque editionem ornare mihi licuit, qui consilio et opera me adiuvit liberalissimoque editori Weidmanno opus meum commendavit. Ad quod conficiendum adgressus quamquam spe tenebar fore ut ex codicibus nondum inspectis aliqua hic illic medela huic libello accresceret, intellegebam tamen corruptiorem esse totius libri condicionem quam ut singulis lectionibus sanari posset. Igitur cave credas te genuinum iam textum prae manibus esse habiturum, pleniorem tamen quam in superioribus editionibus et accuratiorem adparatum quem dicunt criticum invenies.

Maius quidem adiumentum quam adfert adferre posset Plutarchus, qui in Lycurgi vita componenda hoc opusculum prae oculis habuit, nisi scriptoris sententiis saepe usus, semel tantum nomen Xenophontis citasset. Equidem omnes locos in quibus scripturae Xenophonteae vestigium vel leve appareret in medium attuli, ut auxilia ad textum emendandum vel minima praesto essent. Secundas autem habent (ceteros enim missos facio qui verba vel singula vel pauca admodum ex hoc libello expresserunt, Pollucem, Pseudo-Longinum, Harpocrationem, Lexicon Berolinense) excerpta J. Stobaei.[1] Cuius discrepantiam ex schedis erui quas

---

1) Flor. XLIV 24. Opusculi Xenophontei tmemata nullo interstitio in Stobaei libris inter se iungi, in singulas eclogas Gaisfordium praecedente Gesnero dispescuisse monet Hense.

suae editionis in usum iam paratas mecum qua est humanitate benigne cl. v. O. Hense communicavit; qui tamen in epistula ad me data aiebat aegre se ferre quod Ioanni suo non meliorem fontem adire licuisset quam adisset. Restat igitur ut ad libros manuscriptos confugiamus. De quorum auctoritate et cognatione uberius disserui in *Bollettino di Filologia classica* a. X. n°. 11. 12; itaque paucis verbis hic rem persolvam.1)

Codicum quibus libellus de Laced. rep. continetur duplex omnino est genus.

Prioris generis (α) sunt.


A Vaticanus graec. 1335, s. XII (desinit 15, 5 *οἱ δή;* opus explevit altera manus s. XV). Hunc librum descripsit H. Schenkl ap. Tretter, *Xenoph. quae fertur Apol. Socr.* (Graecii 1903) p. III sq. Ex eodem archetypo atque A ductus est liber quidam nunc quantum scio deperditus cuius apographa exstant:

B Vaticanus graec. 1950, s. XV in.

C Mutinensis byblioth. Atestin. II. E 12 (n°. 145) s. XV in., cuius descriptionem vide ap. Puntoni, *Studi Ital. di fil. class.* IV 478 sqq.

M Alterius generis (β) libros in duas familias distribuendos esse docui. Princeps huius classis est Marcianus 511 s. XIII ex. de quo vide quae scripsi in *Studi ital.* VI 67 sq.

Ut horum omnium codicum qui cuiusque sit locus pateat, stemma hoc delineare sat erit.



Ad textum restituendum prioris generis scripturam adhibui; alterius sprevi, excepto M propter antiquitatem.

1) Humanissimi viri Henrici Schenkl benivolentia effectum est ut hic aliorum quoque codicum conlationes, scil. U, Y, V^1, V^2, V^3 in usum adducerem.

Hic illic tamen ex aliis quoque deterioribus libris varias lectiones protuli, quae quidem mihi videbantur memoratu dignae. Has uniuscuiusque libri siglo distinxi; illas vero, quae parvi admodum essent pretii, ex codicibus vel singulis vel pluribus prolatas, siglo ς significavi. Hac igitur via et ratione textum constituere conatus sum, qui nunc in lucem prodit emendatior atque antea, non quantum volui at certe quantum potui.[1])

1) Emendationes nonnullas protuli in „Animadv. crit. in Xen. R. L." Studi ital. XIII 52 sqq.

Scr. Romae, a. MCMV. G. PIERLEONI.

SIGLORUM CONSPECTUS.

α = codices optimae notae.
β = codices deterioris generis.
A = Vaticanus 1335, s. XII.
B = Vaticanus 1950, s. XV in.
C = Mutinensis Bybl. Atest. II E 12 (n. 145), s. XV in.
D = Vaticanus 1334, s. XV.
E = Laurentianus LV 22, s. XIV.
F = Laurentianus LXXX 13, s. XIV.
G = Laurentianus LV 21, s. XIV.
H = Laurentianus LXIX 25, s. XV.
I = Laurentianus Conv. Suppr. 110 (A. F. 2657), s. XV.
K = Laurentianus Abb. Flor. 2902, s. XVI.
L = Lipsiensis Bybl. Senat. n. IX, s. XIV.
M = Marcianus 511, s. XIII ex.
M^a = Marcianus 369, s. XV.
N = Parisinus 1643, s. XV.
O = Parisinus 1645, s. XV.
P = Perusinus B 34, s. XV.
Q = Parisinus 2775, s. XV.
R = Parisinus 1644, s. XV.
S = Parisinus 2077, s. XV.
T = Parisinus 1774, s. XVI.
U = Vaticanus Urbinas 93, s. XV.
V^1 = Vindobonensis IV 37, s. XVI.
V^2 = Vindobonensis 208, s. XVI.
V^3 = Vindobonensis V 95, s. XVI.
X = Vaticanus 1619, s. XV.
Y = Parisinus 2955, s. XV.
Z = Vaticanus 1337, s. XV ex.
Σ = Mediolanensis Ambrosianus J. 44 Sup., s. XV ex
ς = Codices vel singuli vel plures deterioris generis.

Codices Stobaeani.

$Stob.^A$ = Parisinus 1984, s. XIV.
$Stob.^S$ = Vindobonensis LXVI, s. XI in.
$Stob.^M$ = Escurialensis LXXXX, s. XII in.
$Stob.^L$ = Laurentianus VIII 22, s. XIV.

Nominum compendia: Dind. = Lud. Dindorf; Löw. = Löwenkla Saupp. = G. Sauppe; Schneid. = Schneider Saxo; Steph. = H. Estienn

ΞΕΝΟΦΩΝΤΟΣ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ ΠΟΛΙΤΕΙΑ.

I.

Ἀλλ᾽ ἐγὼ ἐννοήσας ποτέ, ὡς ἡ Σπάρτη τῶν ὀλι- 1
γανθρωποτάτων πόλεων οὖσα δυνατωτάτη τε καὶ ὀνο-
μαστοτάτη ἐν τῇ Ἑλλάδι ἐφάνη, ἐθαύμασα, ὅτῳ ποτὲ
τρόπῳ τοῦτ᾽ ἐγένετο· ἐπεὶ μέντοι κατενόησα τὰ ἐπιτη-
δεύματα τῶν Σπαρτιατῶν, οὐκέτι ἐθαύμαζον. Λυκοῦργον 2
μέντοι τὸν θέντα αὐτοῖς τοὺς νόμους, οἷς πειθόμενοι
ηὐδαιμόνησαν, τοῦτον καὶ θαυμάζω καὶ εἰς τὰ ἔσχατα
[μάλα] σοφὸν ἡγοῦμαι. ἐκεῖνος γὰρ οὐ μιμησάμενος τὰς
ἄλλας πόλεις, ἀλλὰ καὶ ἐναντία γνοὺς ταῖς πλείσταις
προέχουσαν εὐδαιμονίᾳ τὴν πατρίδα ἐπέδειξεν. αὐτίκα 3
γὰρ περὶ τεκνοποιίας, ἵνα ἐξ ἀρχῆς ἄρξωμαι, οἱ μὲν
ἄλλοι τὰς μελλούσας τίκτειν καὶ καλῶς δοκούσας κόρας
παιδεύεσθαι καὶ σίτῳ ᾗ ἀνυστὸν μετριωτάτῳ τρέφουσι

---

1 Laert. Diog. II 57 in extrema tabula Xenophontis librorum: *Ἀγησίλαόν τε καὶ Ἀθηναίων καὶ Λακεδαιμονίων πολιτείαν, ἥν φησιν οὐκ εἶναι Ξενοφῶντος ὁ Μάγνης Δημήτριος.* liber in codicibus haud uno loco extat: in A B post Hieronem et ante Ath. Remp., in plerisque post de re equestri et ante Athen. Remp. vel Memorab.; inde suspicatur Diels transpositis Demetriani catalogi verbis *Λακεδαιμονίων καὶ Ἀθηναίων* et pristinum ordinem restitui (cf. Ath. r. p. initium *περὶ δὲ τῆς Ἀθ. πολ.*) et Demetrii damnationem explicari.

2 *Λακεδαιμονίων* Xenophontis libri, index Diog., [Longin.] de subl. 4, 4 (ad. 8, 17 cit.); *Λακώνων* Pollux VI 142 (ad 25, 24 citat.), Harpocrat. s. v. *μόραν*, Lexic. Berol. (post Didymum) s. v. *μορῶν* (ad 21, 6 citt.), Stob. ‖ 10 *μάλα* om. ς del. Saupp. ‖ 12 *ἀπέδειξεν* ς.

καὶ ὄψῳ ᾗ δυνατὸν μικροτάτῳ· οἴνου γε μὴν ἢ πάμπαν ἀπεχομένας ἢ ὑδαρεῖ χρωμένας διάγουσιν. ὥσπερ δὲ οἱ πολλοὶ τῶν τὰς τέχνας ἐχόντων ἑδραῖοί εἰσιν, οὕτω καὶ τὰς κόρας οἱ ἄλλοι Ἕλληνες ἠρεμιζούσας ἐριουργεῖν ἀξιοῦσι. τὰς μὲν οὖν οὕτω τρεφομένας πῶς χρὴ προσδοκῆσαι
4 μεγαλεῖον ἄν τι γεννῆσαι; ὁ δὲ Λυκοῦργος ἐσθῆτας μὲν καὶ δούλας παρέχειν ἱκανὰς ἡγήσατο εἶναι, ταῖς δ' ἐλευθέραις μέγιστον νομίσας εἶναι τὴν τεκνοποιίαν πρῶτον μὲν σωμασκεῖν ἔταξεν οὐδὲν ἧττον τὸ θῆλυ τοῦ ἄρρενος φύλου· ἔπειτα δὲ δρόμου καὶ ἰσχύος, ὥσπερ καὶ τοῖς ἀνδράσιν, οὕτω καὶ ταῖς θηλείαις ἀγῶνας πρὸς ἀλλήλας ἐποίησε, νομίζων ἐξ ἀμφοτέρων ἰσχυρῶν καὶ τὰ ἔκγονα
5 ἐρρωμενέστερα γίγνεσθαι. ἐπεί γε μὴν γυνὴ πρὸς ἄνδρα ἔλθοι, ὁρῶν τοὺς ἄλλους τὸν πρῶτον τοῦ χρόνου ἀμέτρως ταῖς γυναιξὶ συνόντας, καὶ τούτου τἀναντία ἔγνω· ἔθηκε γὰρ αἰδεῖσθαι μὲν εἰσιόντα ὀφθῆναι, αἰδεῖσθαι δ' ἐξιόντα. οὕτω δὲ συνόντων ποθεινοτέρως μὲν ἀνάγκη σφῶν αὐτῶν ἔχειν, ἐρρωμενέστερα δὲ γίγνεσθαι, εἴ τι
6 βλάστοι οὕτω, μᾶλλον ἢ εἰ διάκοροι ἀλλήλων εἶεν. πρὸς δὲ τούτοις καὶ ἀποπαύσας τοῦ ὁπότε βούλοιντο ἕκαστοι γυναῖκα ἄγεσθαι ἔταξεν ἐν ἀκμαῖς τῶν σωμάτων τοὺς

---

6 ὁ δὲ Λυκοῦργος — 3, 18 σαφηνίσαι] Stobaeus III (Flor.) tit. 44, 24 (II, 175, 8—176, 12 Meineke). 9 sqq. Plutarch. Lyc. 14 (I, p. 94, 5—11 Sintenis) τὰ μέν γε σώματα τῶν παρθένων δρόμοις καὶ πάλαις καὶ βολαῖς δίσκων καὶ ἀκοντίων διεπόνησεν, ὡς ἥ τε τῶν γεννωμένων ῥίζωσις ἰσχυρὰν ἐν ἰσχυροῖς σώμασιν ἀρχὴν λαβοῦσα βλαστάνοι βέλτιον, αὐταί τε μετὰ ῥώμης τοὺς τόκους ὑπομένουσαι καλῶς ἅμα καὶ ῥᾳδίως ἀγωνίζοιντο πρὸς τὰς ὠδῖνας.

5 οὖν om. β ‖ 7 καὶ ⟨τὰς⟩ Cobet N. L. p. 725 ‖ δὲ Stob. ‖ 9 σῶμα ἀσκεῖν Stob.^{A} ‖ οὐδ' Stob. ‖ 10 καὶ om. Stob. ‖ 12 ἐξ] ὡς Stob. ‖ τὰ om. ς Stob. ‖ 13 γυνὴ om. Stob. ‖ ἄνδρας Stob. ‖ 14 τὸν πρὸ τούτου χρόνον Stob.^{A} ‖ 15 τούτους suprascr. m 1 οις M ‖ 16 δ'] δὲ Stob. ‖ 17 προθυμοτέρως Stob.^{A} ‖ 19 βλάστοι Saupp. βλαστοῖ Schneid. βλαστάνοιεν Stob. βλάπτοιεν (ζοιεν mg. B) codd. ‖ post οὕτω distinxi; verba οὕτω μᾶλλον del. Cobet 726 ‖ εἰ om. Stob. ‖ 20 βούλοιτο ἕκαστος Cobet 726 ‖ 21 γυναῖκας Stob.

γάμους ποιεῖσθαι, καὶ τοῦτο συμφέρον τῇ εὐγονίᾳ νομίζων.
εἴ γε μέντοι συμβαίη γεραιῷ νέαν ἔχειν, ὁρῶν τοὺς τηλι- 7
κούτους φυλάσσοντας μάλιστα τὰς γυναῖκας τἀναντία καὶ
τούτου ἐνόμισε· τῷ γὰρ πρεσβύτῃ ἐποίησεν, ὁποίου
ἀνδρὸς σῶμά τε καὶ ψυχὴν ἀγασθείη, τοῦτον ἐπαγομένῳ
τεκνοποιήσασθαι. εἰ δέ τις αὖ γυναικὶ μὲν συνοικεῖν μὴ 8
βούλοιτο, τέκνων δὲ ἀξιολόγων ἐπιθυμοίη, καὶ τοῦτο
νόμιμον ἐποίησεν, ἥντινα [ἂν] εὔτεκνον καὶ γενναίαν ὁρῴη,
πείσαντα τὸν ἔχοντα ἐκ ταύτης τεκνοποιεῖσθαι. καὶ 9
πολλὰ μὲν τοιαῦτα συνεχώρει. αἵ τε γὰρ γυναῖκες διττοὺς οἴκους βούλονται κατέχειν οἵ τε ἄνδρες ἀδελφοὺς τοῖς παισὶ προσλαμβάνειν, οἳ τοῦ μὲν γένους καὶ τῆς δυνάμεως κοινωνοῦσι, τῶν δὲ χρημάτων οὐκ ἀντιποιοῦνται.
περὶ μὲν δὴ τεκνοποιίας οὕτω τἀναντία γνοὺς τοῖς ἄλλοις 10
εἴ τι διαφέροντας καὶ κατὰ μέγεθος καὶ κατ᾽ ἰσχὺν ἄνδρας τῇ Σπάρτῃ ἀπετέλεσεν, ὁ βουλόμενος ἐπισκοπείτω.

II.

Ἐγὼ μέντοι, ἐπεὶ καὶ περὶ γενέσεως ἐξήγημαι, βού- 1
λομαι καὶ τὴν παιδείαν ἑκατέρων σαφηνίσαι. τῶν μὲν

---

2 sqq. cf. PLUTARCH. Lyc. 15 (I p. 96, 15—22) ἐξῆν μὲν γὰρ ἀνδρὶ πρεσβυτέρῳ νέας γυναικός, εἰ δή τινα τῶν καλῶν καὶ ἀγαθῶν ἀσπάσαιτο νέων καὶ δοκιμάσειεν, εἰσαγαγεῖν παρ᾽ αὐτὴν καὶ πλήσαντα γενναίου σπέρματος ἴδιον αὐτοῖς ποιήσασθαι τὸ γεννηθέν. ἐξῆν δὲ πάλιν ἀνδρὶ χρηστῷ τῶν εὐτέκνων τινὰ καὶ σωφρόνων θαυμάσαντι γυναικῶν ἑτέρῳ γεγαμημένην πεῖσαι τὸν ἄνδρα συνελθεῖν κτλ.

1 συμφέρειν Cobet 726 ‖ εὐγενείᾳ C Stob. ‖ 3 φυλάττοντας ς Stob. ‖ μάλιστα φυλ. Stob.[A] ‖ 4 τούτοις Stob.[A] ‖ πρεσβύτῃ α Stob. πρεσβυτάτῳ β ‖ 5 καὶ σῶμα καὶ ψ. Stob. ‖ τούτου Stob. ‖ ἀπαγαγομένῳ sive —ου Stob., unde ἐπαγαγομένῳ Hense ‖ 7 τοῦτο A B ς Stob. τούτῳ cett. ‖ 8 νόμιμον Stob. νόμον cett. ‖ ἥντιν᾽ M ‖ ἂν om. ς del. Schneid. ‖ 9 ποιεῖσθαι Stob. ‖ 10. 11 αἱ μὲν — οἱ δὲ Stob. ‖ 12 λαμβάνειν Stob. ‖ τοῦ om. Stob. ‖ 13 κοινωνήσουσι Stob. ‖ 14 δὴ om. Stob.[A] ‖ τοὺς ἄλλους Stob.[A] ubi distinguitur post γνοὺς ‖ 15 καὶ μέγ. καὶ ἰσχὺν Stob. ‖ 16 σκοπείτω Stob. ‖ 17 ἐγὼ — ἐξήγημαι om. Stob. suspecta videntur Dindorfio qui γενέσεως parum apte pro τεκνοποιίας dictum esse opinatur ‖ 18 καὶ] δὲ καὶ Stob. ‖ ἑκατέρων om. Stob.

*τοίνυν ἄλλων Ἑλλήνων οἱ φάσκοντες κάλλιστα τοὺς υἱεῖς
παιδεύειν, ἐπειδὰν τάχιστα αὐτοῖς οἱ παῖδες τὰ λεγόμενα
συνιῶσιν, εὐθὺς μὲν ἐπ᾽ αὐτοῖς παιδαγωγοὺς θεράποντας
ἐφιστᾶσιν, εὐθὺς δὲ πέμπουσιν εἰς διδασκάλων μαθησο-
μένους καὶ γράμματα καὶ μουσικὴν καὶ τὰ ἐν παλαίστρᾳ.
πρὸς δὲ τούτοις τῶν παίδων πόδας μὲν ὑποδήμασιν ἁπα-
λύνουσι, σώματα δὲ ἱματίων μεταβολαῖς διαθρύπτουσι·*
2 *σίτου γε μὴν αὐτοῖς γαστέρα μέτρον νομίζουσιν. ὁ δέ γε
Λυκοῦργος ἀντὶ μὲν τοῦ ἰδίᾳ ἕκαστον παιδαγωγοὺς δού-
λους ἐφιστάναι ἄνδρα ἐπέστησε κρατεῖν αὐτῶν ἐξ ὧνπερ
αἱ μέγισται ἀρχαὶ καθίστανται, ὃς δὴ καὶ παιδονόμος
καλεῖται. τοῦτον δὲ κύριον ἐποίησε καὶ ἁθροίζειν τοὺς
παῖδας καὶ ἐπισκοποῦντα, εἴ τις ῥᾳδιουργοίη, ἰσχυρῶς
κολάζειν. ἔδωκε δ᾽ αὐτῷ καὶ τῶν ἡβώντων μαστιγοφό-
ρους, ὅπως τιμωροῖεν ὅτε δέοι· ὥστε πολλὴν μὲν αἰδῶ,*
3 *πολλὴν δὲ πειθὼ ἐκεῖ συμπαρεῖναι. ἀντί γε μὴν τοῦ
ἁπαλύνειν τοὺς πόδας ὑποδήμασιν ἔταξεν ἀνυποδησίᾳ
κρατύνειν, νομίζων, εἰ τοῦτ᾽ ἀσκήσειαν, πολὺ μὲν ῥᾷον
ἂν ὀρθιάδε ἐκβαίνειν, ἀσφαλέστερον δὲ πρανῆ καταβαίνειν,
καὶ πηδῆσαι δὲ καὶ ἀναθορεῖν καὶ δραμεῖν θᾶττον*

---

8 *ὁ δὲ* — 6, 13. 14 *ὑπηρετοῦντα* Stob. l. c. (p. 176, 13—177, 24). 16 sqq. exc. Plut. Lyc. 16 (p. 98, 27—99, 1) *διὸ καὶ τῆς ἡλικίας προερχομένης ἐπέτεινον αὐτῶν τὴν ἄσκησιν, ἐν χρῷ τε κείροντες καὶ βαδίζειν ἀνυποδήτους παίζειν τε γυμνοὺς ὡς τὰ πολλὰ συνεθίζοντες. γενόμενοι δὲ δωδεκαετεῖς ἄνευ χιτῶνος ἤδη διετέλουν, ἓν ἱμάτιον εἰς τὸν ἐνιαυτὸν λαμβάνοντες, αὐχμηροὶ τὰ σώματα καὶ λουτρῶν καὶ ἀλειμμάτων ἄπειροι κτλ.*

3 *ξυνιῶσιν* M ‖ *εὐθὺ* AMς ‖ 8 *δέ γε* cum V[3] scripsi *γὰρ* Stob. *δὲ* cett. ‖ 9 *ἕκαστον* ς Schneid. *ἑκάστοις* (quod Stob.) vel *ἕκαστος* (suprascr. *ν* G) codd. ‖ 10 *ἄνδρας* Stob. ‖ 11 *ὃ* Stob. ‖ 12 *ἁθροίζειν*] *καθίζειν* Stob. ‖ 13 *ἰσχυρῶς* om. Stob. ‖ 14 *ἔδωκε δ᾽ α* Stob. *ἔδωκεν β* ‖ 15 *ὁπότε* B C, alt. *ο* eras. A *ὅτι* Stob. ‖ *ὡς* Stob. ‖ 18 *τοῦτο* Stob. ‖ *ἀσκήσαιεν* Stob. ‖ 19 *ὀρθιάδε* Schneid. *ὄρθια δὴ εὖ* A[2]B|C *ὄρθια δὲ* vel *ὄρθια* (quod Castalio) cett. ‖ *ἐκβαίνειν* Stob. ‖ *ἀναβαίνειν* Castalio ‖ *ἀσφαλέστερον—καταβαίνειν* om. Stob. ‖ 20 *δὲ* om. Mς ‖ *ἀνθορεῖν* codd. praeter *α*, Stob.

ἀνυπόδητον, εἰ ἠσκηκὼς εἴη τοὺς πόδας, ἢ ὑποδεδεμένον.
καὶ ἀντί γε τοῦ ἱματίοις διαθρύπτεσθαι ἐνόμισεν ἑνὶ 4
ἱματίῳ δι' ἔτους προσεθίζεσθαι, [νομίζων οὕτως καὶ
πρὸς ψύχη καὶ πρὸς θάλπη ἄμεινον ἂν παρεσκευάσθαι].
σῖτόν γε μὴν ἔταξε τοσοῦτον ἔχοντα συμβολεύειν τὸν 5
εἴρενα, ὡς ὑπὸ πλησμονῆς μὲν μήποτε βαρύνεσθαι, τοῦ
δὲ ἐνδεεστέρως διάγειν μὴ ἀπείρως ἔχειν, [νομίζων τοὺς
οὕτω παιδευομένους μᾶλλον μὲν ἂν δύνασθαι, εἰ δεήσειεν,
ἀσιτήσαντας ἐπιπονῆσαι, μᾶλλον δ' ἄν, εἰ παραγγελθείη,
ἀπὸ τοῦ αὐτοῦ σίτου πλείω χρόνον ἐπιταθῆναι, ἧττον
δ' ἂν ὄψου δεῖσθαι, εὐχερέστερον δὲ πρὸς πᾶν ἔχειν
βρῶμα καὶ] ὑγιεινοτέρως δ' ἂν διάγειν, καὶ εἰς μῆκος δ' 6
ἂν αὐξάνεσθαι τὴν ῥαδινὰ τὰ σώματα ποιοῦσαν τροφὴν
μᾶλλον συλλαμβάνειν ἡγήσατο ἢ τὴν διαπλατύνουσαν τῷ
σίτῳ. ὡς δὲ μὴ ὑπὸ λιμοῦ ἄγαν αὖ πιέζοιντο, ἀπρα-

2. 3 ἑνὶ ἱματίῳ] Cf. Anonym. in Arist. Eth. Nic. Δ 13 [XX 200, 12 ed. Acad. Ber.] *οἷον ἡ τῶν Λακώνων ἐσθὴς εὐτελὴς ἄγαν ἱστορεῖται Ξενοφῶντι.*

1 *ἀνυπόδητον — ὑποδεδ.* om. Stob.; recte uncis includit v. Herwerden (*Rev. de phil.* IV 17 sqq.) ‖ *ἀνυπόδετον* s. *ἀνυποδέτων* ABM ς ⟨τὸν⟩ *ἀνυπ.* Cobet 726 ‖ *ἀνυπόδητόν* ⟨*τινα*⟩ K. Schenkl. (*Bursians Jahresb.* 1888, 54 p. 109 sqq.) ‖ comma *εἰ — πόδας* spurium putat Schneid., ex praeced. *εἰ τοῦτ' ἀσκήσειαν* ortum ‖ ⟨*τὸν*⟩ *ὑποδ.* Cobet 726 ‖ 2 *καὶ — γε*] *ἀντὶ δὲ* Stob. Herwerden ‖ *ἐνόμισε* Stob. *ἐνόμιζεν* α ‖ *ἑνὶ ἱμ.*] *δερματίῳ* Stob. ‖ 3. 4 *νομίζων — παρεσκ.* om. Stob., ipse delevi ‖ 4 *παρεσκ.* Cobet 725 *παρασκευάσασθαι* libri ‖ 5 *ἔταξε* om. Stob. ‖ *ἔχειν* Stob. ‖ *συμβολεύειν* ς *συνεβούλευεν* Stob. *συμβουλεύειν* cett. ‖ 5. 6 *τὸν εἴρενα* om. Stob. ‖ 6 *εἴρενα* Schneid.: *ἄρρενα* ‖ *οὔποτε* M Stob.[A] ‖ 7 *νομίζων* — 12 *βρῶμα καὶ* om. Stob., ipse delevi ‖ 9 *ἐπιπ.*] *ἔτι πονῆσαι* Hutchinson ‖ 10 *ἀποτραφῆναι* Herwerden ‖ 11 *πᾶν* ⟨*ἂν*⟩ Cobet 725 ‖ 12 ⟨*εἰς τὸ*⟩ *ὑγιειν.* Weiske ‖ 12—14 *καὶ εἰς μῆκος δ' ἂν αὐξάνεσθαι* ⟨*ᾤετο καὶ εὐειδεστέρους* (vel *καλλίους*) *γίγνεσθαι, πρὸς ἀμφότερα*⟩ *τὴν ῥαδινὰ τὰ σώματα ποιοῦσαν τροφὴν μᾶλλον συλλαμβάνειν ἡγησάμενος ἢ τὴν διαπλατύνουσαν κτλ.* coni. Dindorf ‖ 12 ⟨*εἰς τὸ*⟩ *εἰς* Weiske et Riemann (*Rev. de phil.* VII 2), qui *ἂν* secludit ‖ 12. 13 *δ' ἂν* Stob., *ἂν* cett., *ἂν* Morus ‖ 13 *αὐξάνεσθαι* secludendum putat Diels ‖ ⟨*πρὸς γὰρ ῥώμην τε καὶ τάχος*⟩ vel ⟨*εἰς γὰρ ἰσχύν τε καὶ τάχος*⟩ *τὴν ῥαδινὰ κτλ.* Cobet 727 ‖ 14 *ἡγησάμενος* Stob. ‖ *διαπλάττουσαν* Stob.

γμόνως μὲν αὐτοῖς οὐκ ἔδωκε λαμβάνειν ὧν ἂν προσδέωνται, κλέπτειν δ' ἐφῆκεν ἔστιν ἃ τῷ λιμῷ ἐπικουροῦντας.
7 καὶ ὡς μὲν οὐκ ἀπορῶν ὅ, τι δοίη ἐφῆκεν αὐτοῖς γε μηχανᾶσθαι τὴν τροφήν, οὐδένα οἶμαι τοῦτο ἀγνοεῖν· δῆλον δ' ὅτι τὸν μέλλοντα κλωπεύειν καὶ νυκτὸς ἀγρυπνεῖν δεῖ καὶ μεθ' ἡμέραν ἀπατᾶν καὶ ἐνεδρεύειν, καὶ κατασκόπους δὲ ἑτοιμάζειν τὸν μέλλοντά τι λήψεσθαι. ταῦτα οὖν δὴ πάντα [δῆλον ὅτι] μηχανικωτέρους τῶν ἐπιτηδείων βουλόμενος τοὺς παῖδας ποιεῖν καὶ πολεμι-
8 κωτέρους οὕτως ἐπαίδευσεν. εἴποι δ' ἂν οὖν τις, τί δῆτα, εἴπερ τὸ κλέπτειν ἀγαθὸν ἐνόμιζε, πολλὰς πληγὰς ἐπέβαλε τῷ ἁλισκομένῳ; ὅτι, φημὶ ἐγώ, καὶ τἆλλα, ὅσα ἄνθρωποι διδάσκουσι, κολάζουσι τὸν μὴ καλῶς ὑπηρετοῦντα. κἀκεῖνοι οὖν τοὺς ἁλισκομένους ὡς κακῶς
9 κλέπτοντας τιμωροῦνται. καὶ ὡς πλείστους δὴ ἁρπάσαι τυροὺς παρ' Ὀρθίας καλὸν θεὶς μαστιγοῦν τούτους ἄλλοις ἐπέταξε, τοῦτο δὴ δηλῶσαι καὶ ἐν τούτῳ βουλόμενος, ὅτι ἔστιν ὀλίγον χρόνον ἀλγήσαντα πολὺν χρόνον εὐδοκιμοῦντα εὐφραίνεσθαι. δηλοῦται δὲ ἐν τούτῳ, ὅτι καὶ ὅπου τάχους δεῖ ὁ βλακεύων ἐλάχιστα μὲν ὠφελεῖται,
10 πλεῖστα δὲ πράγματα λαμβάνει. ὅπως δὲ μηδ' εἰ ὁ παιδονόμος ἀπέλθοι, ἔρημοί ποτε οἱ παῖδες εἶεν ἄρχοντος, ἐποίησε τὸν ἀεὶ παρόντα τῶν πολιτῶν κύριον εἶναι καὶ ἐπιτάττειν τοῖς παισὶν ὅ, τι [ἂν] ἀγαθὸν δοκοίη

---

21 ὅπως — 7, 1 ἁμαρτάνοιεν Stob. l. c. (p. 177, 26—30).

1 οὐκ ἔδωκεν αὐτοῖς Stob. ‖ ἂν om. Stob. ‖ δέωνται codd. praet. α προσδέονται Stob. ‖ 2 δὲ Stob. ‖ 2—4 ἔστιν ἃ — ἀγνοεῖν om. Stob. ‖ 3 γε] τὸ Weiske ‖ 4 τοῦτ' M ‖ 7 κατασκοπὰς Herwerden ‖ τόν ⟨γε⟩ Schneid. ‖ 8 δὴ om. Stob. ‖ δῆλον ὅτι uncis includit Diels ‖ δηλονότι πάντα Stob. ‖ 10 ἐπαίδευεν Stob. ‖ 10. 11 εἴποι — ἐνόμιζε om. Stob. ‖ 11 πολλὰς δὲ Stob. ‖ 12 ἐπέβαλε C ς ἐπέβαλλε (quod, vel ἐπέβαλλεν, Stobaei libri) vel ὑπέβαλε cett. ‖ 17 ἐπέταξεν Cς ‖ δὴ om. α δὲ ς ‖ ⟨καὶ⟩ ὅτι K. Schenkl. ‖ 19 δηλοῦται—21 λαμβάνειν vitiosa et al. loco pertinere vid. Weisk. ‖ 19 δὲ del. Löw. ‖ καὶ del. Löw. ‖ post καὶ ex v. 19 transp. δὲ Weiske ‖ 21 μηδ' εἰ] μὴ ἐὰν Stob. ‖ 21. 22 εἰ—ποτε] εἴ ποτε — ἔρημοι Cobet 728 ‖ 23 αἰεὶ Stob. ‖ 24 ὅ, τι] εἴ τι Stob. ‖ ἂν (om. ς Stob.) del. Saupp. ‖ δοκῇ Dind.

εἶναι καὶ κολάζειν, εἴ τι ἁμαρτάνοιεν. τοῦτο δὲ ποιήσας
διέπραξε καὶ αἰδημονεστέρους εἶναι τοὺς παῖδας· οὐδὲν
γὰρ οὕτως αἰδοῦνται οὔτε παῖδες οὔτε ἄνδρες ὡς τοὺς
ἄρχοντας. ὡς δὲ καὶ εἴ ποτε μηδεὶς τύχοι ἀνὴρ παρών, 11
μηδ' ὡς ἔρημοι οἱ παῖδες ἄρχοντος εἶεν, ἔθηκε τῆς ἴλης
ἑκάστης τὸν τορώτατον τῶν εἰρένων ἄρχειν· ὥστε οὐ-
δέποτε ἐκεῖ οἱ παῖδες ἔρημοι ἄρχοντός εἰσι.

Λεκτέον δέ μοι δοκεῖ εἶναι καὶ περὶ τῶν παιδικῶν 12
ἐρώτων· ἔστι γάρ τοι καὶ τοῦτο πρὸς παιδείαν. οἱ μὲν
τοίνυν ἄλλοι Ἕλληνες ἢ ὥσπερ Βοιωτοὶ ἀνὴρ καὶ παῖς
συζυγέντες ὁμιλοῦσιν ἢ ὥσπερ Ἠλεῖοι διὰ χαρίτων τῇ
ὥρᾳ χρῶνται· εἰσὶ δὲ καὶ οἳ παντάπασι τοῦ διαλέγεσθαι
τοὺς ἐραστὰς εἴργουσιν ἀπὸ τῶν παίδων. ὁ δὲ Λυκοῦργος 13
ἐναντία καὶ τούτοις πᾶσι γνοὺς εἰ μέν τις αὐτὸς ὢν οἷον
δεῖ ἀγασθεὶς ψυχὴν παιδὸς πειρῷτο ἄμεμπτον φίλον ἀπο-
τελέσασθαι καὶ συνεῖναι, ἐπῄνει καὶ καλλίστην παιδείαν
ταύτην ἐνόμιζεν· εἰ δέ τις παιδὸς σώματος ὀρεγόμενος
φανείη, αἴσχιστον τοῦτο θεὶς ἐποίησεν ἐν Λακεδαίμονι
μηδὲν ἧττον ἐραστὰς παιδικῶν ἀπέχεσθαι ἢ γονεῖς παί-
δων ἢ καὶ ἀδελφοὶ ἀδελφῶν εἰς ἀφροδίσια ἀπέχονται.
τὸ μέντοι ταῦτα ἀπιστεῖσθαι ὑπό τινων οὐ θαυμάζω·
ἐν πολλαῖς γὰρ τῶν πόλεων οἱ νόμοι οὐκ ἐναντιοῦνται 14
ταῖς πρὸς τοὺς παῖδας ἐπιθυμίαις. ἡ μὲν δὴ παιδεία
εἴρηται ἥ τε Λακωνικὴ καὶ ἡ τῶν ἄλλων Ἑλλήνων· ἐξ
ὁποτέρας δ' αὐτῶν καὶ εὐπειθέστεροι καὶ αἰδημονέστεροι
καὶ ὧν δεῖ ἐγκρατέστεροι ἄνδρες ἀποτελοῦνται, ὁ βουλό-
μενος καὶ ταῦτα ἐπισκοπείσθω.

III.

Ὅταν γε μὴν ἐκ παίδων εἰς τὸ μειρακιοῦσθαι ἐκ- 1
βαίνωσι, τηνικαῦτα οἱ μὲν ἄλλοι παύουσι μὲν ἀπὸ
παιδαγωγῶν, παύουσι δὲ ἀπὸ διδασκάλων, ἄρχουσι δὲ

---

6 εἰρένων Cragius: ἀρρένων ‖ 9 τοι M τι cett. ‖ 18 ἐν] ἂν ς ‖ 19 παιδικῶν] παιδίσκων Haas ‖ 21 μὲν τοιαῦτα AM μέντοι ταῦτα (in mg. δὴ) C μέντοι αὐτὰ B ‖ 28 εἰς — μειρακιοῦσθαι del. Cobet 728 ‖ 30 δὲ prius] δὲ καὶ ς.

οὐδένες ἔτι αὐτῶν, ἀλλ᾽ αὐτονόμους ἀφιᾶσιν· ὁ δὲ
2 Λυκοῦργος καὶ τούτων τἀναντία ἔγνω. καταμαθὼν γὰρ
τοῖς τηλικούτοις μέγιστον μὲν φρόνημα ἐμφυόμενον,
μάλιστα δὲ ὕβριν ἐπιπολάζουσαν, ἰσχυροτάτας δὲ ἐπι-
θυμίας τῶν ἡδονῶν παρισταμένας, τηνικαῦτα πλείστους
μὲν πόνους αὐτοῖς ἐπέβαλε, πλείστην δὲ ἀσχολίαν ἐμη-
3 χανήσατο. ἐπιθεὶς δὲ καὶ εἴ τις ταῦτα φύγοι, μηδενὸς
ἔτι τῶν καλῶν τυγχάνειν, ἐποίησε μὴ μόνον τοὺς ἐκ
δημοσίου ἀλλὰ καὶ τοὺς κηδομένους ἑκάστων ἐπιμελεῖσθαι,
ὡς μὴ ἀποδειλιάσαντες ἀδόκιμοι παντάπασιν ἐν τῇ πόλει
4 γένοιντο. πρὸς δὲ τούτοις τὸ αἰδεῖσθαι ἰσχυρῶς ἐμφῦσαι
βουλόμενος αὐτοῖς καὶ ἐν ταῖς ὁδοῖς ἐπέταξεν ἐντὸς μὲν
τοῦ ἱματίου τὼ χεῖρε ἔχειν, σιγῇ δὲ πορεύεσθαι, περι-
βλέπειν δὲ μηδαμοῖ, ἀλλ᾽ αὐτὰ τὰ πρὸ τῶν ποδῶν ὁρᾶν.
ἔνθα δὴ καὶ δῆλον γεγένηται, ὅτι τὸ ἄρρεν φῦλον καὶ
εἰς τὸ σωφρονεῖν ἰσχυρότερόν ἐστι τῆς θηλείας φύσεως.
5 ἐκείνων γοῦν ἧττον μὲν ἂν φωνὴν ἀκούσαις ἢ τῶν
λιθίνων, ἧττον δ᾽ ἂν ὄμματα [μετα]στρέψαις ἢ τῶν

11 πρὸς δὲ τούτοις — 9, 6 ἐσπούδασε Stob. l. c. (p. 177, 31—178, 12). 17—9, 2 [Longinus] de subl. 4, 4 p. 8 Vahlen: τί δεῖ περὶ Τιμαίου λέγειν, ὅπου γε καὶ οἱ ἥρωες ἐκεῖνοι, Ξενοφῶντα λέγω καὶ Πλάτωνα, καίτοι γ᾽ ἐκ τῆς Σωκράτους ὄντες παλαίστρας, ὅμως διὰ τὰ οὕτως μικροχαρῆ ἑαυτῶν ποτε ἐπιλανθάνονται; ὁ μέν γε ἐν τῇ Λακεδαιμονίων γράφει πολιτείᾳ· ἐκείνων μὲν γοῦν — τῶν ἐν τοῖς ὀφθαλμοῖς παρθένων. Ἀμφικράτει, καὶ οὐ Ξενοφῶντι, ἔπρεπε τὰς ἐν τοῖς ὀφθαλμοῖς κόρας λέγειν παρθένους αἰδήμονας κτλ.

6 ὑπέβαλε M hoc vel ὑπέβαλλε ς ‖ 9 ⟨ἰδίᾳ⟩ κηδ. dubitanter Dind. ‖ 10 μηδὲ V^3 ‖ 11 τό τε Stob. ‖ ἐμφῦσαι Stob. ἐμφυῶσαι Mς ἐμφυσιῶσαι cett. ‖ 12 ἐπέδειξεν Stob. ‖ 13. 14 περιόπτειν (περιωπεῖν Diels) Stob. ‖ 14 μηδαμοῖ ς μηδαμῶς Stob. μηδαμοῦ s. μηδαμῇ cett. ‖ αὐτὰ om. V^3 ‖ τῶν om. Stob. ‖ 16 σῶφρον Stob. ‖ τῆς Heindorf: τῶν τῆς codd. τῆς τῶν Stob. ‖ θηλειῶν Stob. ‖ 17 ὡς ἐκείνων Stob., ὡς ut ex dittographia natum del. Hense ‖ γοῦν] μὲν γοῦν [Long.] de Subl. 4, 4 ‖ ἀκούσαις] ἣν ἀκοῦσαι Stob., corruptum propter syllabam ην male iteratam monet Hense ‖ 18 δ᾽ ἂν] δὲ Stob. ‖ στρέψαις cum [Long.] scribo, μεταστρέψαις Xen. libri [μετα — ex ὄμματα ortum suspicor] στρεψάντων Stob. ‘crediderim στρέψαις αὐτῶν fuisse in Stobaeo, sed αὐτῶν profectum ex interpolatione’ Hense.

χαλκῶν, αἰδημονεστέρους δ' ἂν αὐτοὺς ἡγήσαιο καὶ αὐτῶν τῶν ἐν τοῖς θαλάμοις παρθένων. καὶ ἐπειδὰν εἰς τὸ φιλίτιόν γε ἀφίκωνται, ἀγαπητὸν αὐτῶν καὶ τὸ ἐρωτηθὲν ἀκοῦσαι. καὶ τῶν μὲν αὖ παιδίσκων οὕτως ἐπεμελήθη.

IV.

Περί γε μὴν τῶν ἡβώντων πολὺ μάλιστα ἐσπούδασε, 1
νομίζων τούτους, εἰ γένοιντο οἵους δεῖ, πλεῖστον ῥέπειν
ἐπὶ τὸ ἀγαθὸν τῇ πόλει. ὁρῶν οὖν, οἷς ἂν μάλιστα 2
φιλονικία ἐγγένηται, τούτων καὶ χοροὺς ἀξιακροατοτάτους
γιγνομένους καὶ γυμνικοὺς ἀγῶνας ἀξιοθεατοτάτους, ἐνό-
μιζεν, εἰ καὶ τοὺς ἡβῶντας συμβάλλοι εἰς ἔριν περὶ ἀρε-
τῆς, οὕτως ἂν καὶ τούτους ἐπὶ πλεῖστον ἀφικνεῖσθαι
ἀνδραγαθίας. ὡς οὖν τούτους αὖ συνέβαλεν, ἐξηγήσομαι.
αἱροῦνται τοίνυν αὐτῶν οἱ ἔφοροι ἐκ τῶν ἀκμαζόντων 3
τρεῖς ἄνδρας· οὗτοι δὲ ἱππαγρέται καλοῦνται. τούτων
δ' ἕκαστος ἄνδρας ἑκατὸν καταλέγει, διασαφηνίζων, ὅτου
ἕνεκα τοὺς μὲν προτιμᾷ, τοὺς δὲ ἀποδοκιμάζει. οἱ οὖν 4
μὴ τυγχάνοντες τῶν καλῶν πολεμοῦσι τοῖς τε ἀποστεί-
λασιν αὐτοὺς καὶ τοῖς αἱρεθεῖσιν ἀνθ' αὐτῶν, καὶ παρα-
φυλάττουσιν ἀλλήλους, ἐάν τι παρὰ τὰ καλὰ νομιζόμενα
ῥᾳδιουργῶσι.

Καὶ αὕτη δὴ γίγνεται ἡ θεοφιλεστάτη τε καὶ πολιτι- 5
κωτάτη ἔρις, ἐν ᾗ ἀποδέδεικται μὲν ἃ δεῖ ποιεῖν τὸν
ἀγαθόν, χωρὶς δ' ἑκάτεροι ἀσκοῦσιν, ὅπως ἀεὶ κράτιστοι
ἔσονται, ἐὰν δέ τι δέῃ, καθ' ἕνα ἀρήξουσι τῇ πόλει

---

13 ὡς οὖν — 19 ἀνθ' αὐτῶν Stob. l. c. (p. 178, 14—21).

2 θαλάμοις] ὀφθαλμοῖς [Long.] 4, 4 Stob. ‖ ἐπεὶ Stob. ‖ 3 γε om. Stob. ‖ 4. 5 καὶ τῶν — ἐπεμ. om. Stob. suspecta vid. Dind. ‖ 4 παιδίσκων Haas: παιδικῶν ‖ 6 τῶν ἤδη Stob. ‖ ἐσπούδασεν ς Stob. ‖ 9 φιλονικίᾳ ς φιλονεικίᾳ cett. ‖ 11 συμβάλοι Mς ‖ 13 συνέβαλλεν ς Stob. ‖ 14 οἱ ἐφ. αὐτῶν Stob. ‖ 15 ἱππαγρίται Stob. ‖ 16 δὲ ς Stob. ‖ ἄνδρα ς Stob. ‖ ἑκατὸν] ἕκαστον ς Stob. ‖ 17 δ' Stob. ‖ 18 τε G Stob. μὴ cett. τε μὴ Haas ‖ 19 ἀνθ' libri exc. ABς qui ἀμφ' et C, Stob. qui ἀντ' ‖ αὐτῶν ας Stob. ‖ 22 ἡ del. Hertlein (N. Jahrbb. 78 p. 214).

6 παντὶ σθένει [ἄν]. ἀνάγκη δ' αὐτοῖς καὶ εὐεξίας ἐπι-
μελεῖσθαι. καὶ γὰρ πυκτεύουσι διὰ τὴν ἔριν ὅπου ἂν
συμβάλωσι· διαλύειν μέντοι τοὺς μαχομένους πᾶς ὁ
παραγενόμενος κύριος. ἢν δέ τις ἀπειθῇ τῷ διαλύοντι,
ἄγει αὐτὸν ὁ παιδονόμος ἐπὶ τοὺς ἐφόρους· οἱ δὲ
ζημιοῦσι μεγαλείως, καθιστάναι βουλόμενοι εἰς τὸ μή-
ποτε ὀργὴν τοῦ μὴ πείθεσθαι τοῖς νόμοις κρατῆσαι.
7 τοῖς γε μὴν τὴν ἡβητικὴν ἡλικίαν πεπερακόσιν, ἐξ ὧν
ἤδη καὶ αἱ μέγισται ἀρχαὶ καθίστανται, οἱ μὲν ἄλλοι
Ἕλληνες ἀφελόντες αὐτῶν τὸ ἰσχύος ἔτι ἐπιμελεῖσθαι
στρατεύεσθαι ὅμως αὐτοῖς ἐπιτάττουσιν, ὁ δὲ Λυκοῦργος
τοῖς τηλικούτοις νόμιμον ἐποίησε κάλλιστον εἶναι τὸ
θηρᾶν, εἰ μή τι δημόσιον κωλύοι, ὅπως δύναιντο καὶ
οὗτοι μηδὲν ἧττον τῶν ἡβώντων στρατιωτικοὺς πόνους
ὑποφέρειν.

V.

1 Ἃ μὲν οὖν ἑκάστῃ ἡλικίᾳ ἐνομοθέτησεν ὁ Λυκοῦργος
ἐπιτηδεύματα, σχεδὸν εἴρηται· οἵαν δὲ καὶ πᾶσι δίαιταν
2 κατεσκεύασε, νῦν πειράσομαι διηγεῖσθαι. Λυκοῦργος
τοίνυν παραλαβὼν τοὺς Σπαρτιάτας ὥσπερ τοὺς ἄλλους
Ἕλληνας οἴκοι σκηνοῦντας, γνοὺς ἐν τούτοις πλεῖστα
ῥᾳδιουργεῖσθαι εἰς τὸ φανερὸν ἐξήγαγε τὰ συσκήνια,
οὕτως ἡγούμενος ἥκιστ' ἂν παραβαίνεσθαι τὰ προστατ-
3 τόμενα. καὶ σῖτόν τε ἔταξεν αὐτοῖς, ὡς μήτε ὑπερ-
πληροῦσθαι μήτε ἐνδεεῖς γίγνεσθαι. πολλὰ δὲ καὶ παρά-

---

3 διαλύειν — 4 κύριος Stob. l. c. (p. 178, 22. 23). 8 τοῖς γε μὴν — 15 ὑποφέρειν Stob. l. c. (p. 178, 24—29).

1 ἂν del. Steph. ‖ 3 συμβάλλωσι B C ς ‖ διαλύει A 1 ς ‖ 4 παραγιγνόμενος Stob. ‖ 6 μεγάλως M ‖ εἰς del. Weiske ‖ 7 τοῦ] τὸ Hermann ‖ 8 πεπρακόσιν A B M ς ‖ 9—11 οἱ μὲν ἄλλοι — ἐπιτάττουσιν om. Stob. ‖ 11 δὲ om. Stob. ‖ 12 τοῖς τηλ. om. Stob. τοῖς τοιούτοις V[3] ‖ 13 δύναιντο—14 οὗτοι] καὶ οὗτοι δύνωνται Stob. ‖ 20 τούτῳ Cobet 729 ‖ πλεῖστα C M 2 πλείστους cett. ‖ 23 τε] γε Steph. δὲ Heindorf ‖ αὐτοῖς ⟨τοσοῦτον⟩ ὥστε Cobet 729.

λογα γίγνεται ἀπὸ τῶν ἀγρευομένων· οἱ δὲ πλούσιοι
ἔστιν ὅτε καὶ ἄρτον ἀντιπαραβάλλουσιν· ὥστε οὔτε
ἔρημός ποτε ἡ τράπεζα βρωτῶν γίγνεται, ἔστ' ἂν διασκη-
νῶσιν, οὔτε πολυδάπανος. καὶ μὴν τοῦ πότου ἀπο- 4
παύσας τὰς οὐκ ἀναγκαίας πόσεις, αἳ σφάλλουσι μὲν
σώματα, σφάλλουσι δὲ γνώμας, ἐφῆκεν ὁπότε διψῴη
ἕκαστος πίνειν, οὕτω νομίζων ἀβλαβέστατόν τε καὶ
ἥδιστον ποτὸν γίγνεσθαι. οὕτω γε μὴν συσκηνούντων
πῶς ἄν τις ἢ ὑπὸ λιχνείας ἢ οἰνοφλυγίας ἢ αὑτὸν ἢ
οἶκον διαφθείρειε; καὶ γὰρ δὴ ἐν μὲν ταῖς ἄλλαις πό- 5
λεσιν ὡς τὸ πολὺ οἱ ἥλικες ἀλλήλοις σύνεισι, μεθ' ὧνπερ
καὶ ἐλαχίστη αἰδὼς παραγίγνεται· ὁ δὲ Λυκοῦργος ἐν τῇ
Σπάρτῃ †ἀνέμιξε παιδεύεσθαι τὰ πολλὰ τοὺς νεωτέρους
ὑπὸ τῆς τῶν γεραιτέρων ἐμπειρίας. καὶ γὰρ δὴ ἐπιχώ- 6
ριον ἐν τοῖς φιλιτίοις λέγεσθαι ὅ,τι ἂν καλῶς τις ἐν
τῇ πόλει ποιήσῃ· ὥστ' ἐκεῖ ἥκιστα μὲν ὕβριν, ἥκιστα
δὲ παροινίαν, ἥκιστα δὲ αἰσχρουργίαν καὶ αἰσχρολογίαν
ἐγγίγνεσθαι. ἀγαθά γε μὴν ἀπεργάζεται καὶ τάδε ἡ 7
ἔξω σίτησις· περιπατεῖν τε γὰρ ἀναγκάζονται ἐν τῇ
οἴκαδε ἀφόδῳ καὶ μὴν τὸ ὑπὸ οἴνου μὴ σφάλλεσθαι
ἐπιμελεῖσθαι, εἰδότες ὅτι οὐκ ἔνθαπερ ἐδείπνουν κατα-

---

1 Athen. IV p. 141 ‘ Σφαῖρος δ' ἐν τρίτῳ Λακωνικῆς πολιτείας γράφει [FHG III 20]· φέρουσι δὲ καὶ ἐπάϊκλα αὐτοῖς οἱ φιδῖται· καὶ τῶν μὲν ἀγρευομένων ὑφ' αὐτῶν ἐνίοτε οἱ πολλοί, οὐ μὴν ἀλλ' οἵ γε πλούσιοι καὶ ἄρτον καὶ ὧν ἂν ὥρα ἐκ τῶν ἀγρῶν ὅσον εἰς αὐτὴν τὴν συνουσίαν, νομίζοντες καὶ τὸ πλείονα τῶν ἱκανῶν, παρασκευάζειν περιττὸν εἶναι, μὴ μέλλοντά γε προσφέρεσθαι.’

1 ἀργευομένων AMς ‖ 2 ἄρτον Canterus Nov. Lect. 3, 7 ex Athenaeo: ἀργὸν ‖ 4 ποτοῦ ABMς ‖ 9 αὐτὸν ABM2ς ‖ 10 διαφθείρειενα Mς ‖ 13 ἀνέμιξε] ἐνόμισε Dind. ἀν. ⟨τὰς ἡλικίας ὥστε⟩ π. Schneid. ἀν. ⟨βουλόμενος⟩ Richards (*Class. Rev.* XI 237), ἀν. ⟨νομίζων⟩ K. Schenkl (*Festschrift f. O. Benndorf*, p. 27), ἐπέδειξε suspicor fuisse, in ἀνέμειξε corruptum ‖ 16 ὥστε ς ‖ 20 καὶ μὴ ὑπὸ τοῦ οἴνου [μὴ] Herwerden ‖ μὴν om. C del. Schneid. ‖ 21 εἰδότες (D?) Weiske εἰδότας cett. ‖ 21—12, 1 καταμένουσι α.

μενοῦσι· καὶ τῇ ὄρφνῃ ὅσα ἡμέρᾳ χρηστέον· οὐδὲ γὰρ ὑπὸ φανοῦ τὸν ἔτι ἔμφρουρον ἔξεστι πορεύεσθαι.

8 Καταμαθὼν γε μὴν ὁ Λυκοῦργος καὶ ὅτι ἀπὸ τῶν ⟨αὐτῶν⟩ σίτων οἱ μὲν διαπονούμενοι εὔχροί τε καὶ εὔσαρκοι καὶ εὔρωστοί εἰσιν, οἱ δ' ἄπονοι πεφυσημένοι τε καὶ αἰσχροὶ καὶ ἀσθενεῖς ἀναφαίνονται, οὐδὲ τούτου ἠμέλησεν, ἀλλ' ἐννοῶν, ὅτι καὶ ὅταν αὐτός τις τῇ ἑαυτοῦ γνώμῃ φιλοπονῇ, ἀρκούντως τὸ σῶμα ἔχων ἀναφαίνεται, ἐπέταξε τὸν ἀεὶ πρεσβύτατον ἐν τῷ γυμνασίῳ ἑκάστων ἐπιμελεῖσθαι ὡς μήποτε αὐτοὶ ἐλάττους τῶν σιτίων
9 γίγνεσθαι. καὶ ἐμοὶ μὲν οὐδ' ἐν τούτῳ σφαλῆναι δοκεῖ. οὐκ ἂν οὖν ῥᾳδίως γέ τις εὕροι Σπαρτιατῶν οὔτε ὑγιεινοτέρους οὔτε τοῖς σώμασι χρησιμωτέρους· ὁμοίως γὰρ ἀπό τε τῶν σκελῶν καὶ ἀπὸ χειρῶν καὶ ἀπὸ τραχήλου γυμνάζονται.

VI.

1 Ἐναντία γε μὴν ἔγνω καὶ τάδε τοῖς πλείστοις. ἐν μὲν γὰρ ταῖς ἄλλαις πόλεσι τῶν ἑαυτοῦ ἕκαστος καὶ παίδων καὶ οἰκετῶν καὶ χρημάτων ἄρχουσιν· ὁ δὲ Λυκοῦργος κατασκευάσαι βουλόμενος, ὡς ἂν μηδὲν βλάπτοντες ἀπολαύοιέν τι οἱ πολῖται ἀλλήλων ἀγαθόν, ἐποίησε παίδων ἕκαστον ὁμοίως τῶν ἑαυτοῦ καὶ τῶν ἀλλοτρίων

---

2 ὑπὸ φανοῦ exc. Plutarch. Lyc. (p. 92, 10—13) *πιόντες δὲ μετρίως ἄπιασι δίχα λαμπάδος. οὐ γὰρ ἔξεστι πρὸς φῶς βαδίζειν, οὔτε ταύτην οὔτε ἄλλην ὁδόν, ὅπως ἐθίζωνται σκότους καὶ νυκτὸς εὐθαρσῶς καὶ ἀδεῶς ὁδεύειν.* 20. 21 *ἐποίησε παίδων* (praemissis v. *ὡσαύτως ὁ Λυκοῦργος*) — 13, 3 *βούλοιτο* Stob. l. c. (p. 178, 30—179, 2). 20. 21 exc. Plutarch. Lyc. 15 (p. 96, 24—27) *πρῶτον μὲν*

1 *γὰρ* om. V^3 ‖ 4 *αὐτῶν* add. Dobraeus Adv. I 137 ‖ *εὔχροι* Cobet 730: *εὔχροοι* ‖ 7 *τις* DZ *τι* cett. ‖ 8 ⟨*οὐκ*⟩ *ἀρκούντως* K. Schenkl. *ἀρκοῦν* Dind. *ἀρκούντως* ⟨*οὐ καλῶς*⟩ P. Verres (*De Silii Punicis*, Münster 1888) ‖ 9 *ἑκάστων* N, G. Hermann *ἑκάστῳ* cett. ‖ 10 *ὡς μήποτε δοκοῖεν ἧττους τῶν σ. γ.* Dind. *ὡς μήποτε* ⟨*καταρρᾳθυμοῖεν ὥστε*⟩ *αὐτοὶ ἐλάττους* K. Schenkl (*Festschr. f. O. Benndorf*) *τοῦ μήποτε αὐτοὺς ἐλ. τῶν συσσίτων γίγνεσθαι* vel *γίγνονται* [?] Löw. ‖ *αὐτοῦ* V^3 *αὐτοῖς* s. *αὐτοὺς* Haas del. Saupp. ‖ *ἐλάττω* s. *ἔλαττον* Haas ‖ 11 *γίγνωνται* Schneid. ‖ 12 *εὕροι γέ τις* V^3 ‖ 16 *μήν τ'* V^3 ‖ 18 post *παίδων* add. *καὶ γυναικῶν* V^3 ‖ 21 *παίδων* ⟨*μὲν*⟩ Haas ‖ *καὶ*] *τε καὶ* V^3.

ἄρχειν. ὅταν δέ τις εἰδῇ, ὅτι † οὗτοι πατέρες εἰσὶ τῶν 2
παίδων, ὧν αὐτὸς ἄρχει, ἀνάγκη οὕτως ἄρχειν, ὥσπερ
ἂν καὶ τῶν ἑαυτοῦ ἄρχεσθαι βούλοιτο. ἢν δέ τις παῖς
ποτε πληγὰς λαβὼν ὑπ' ἄλλου κατείπῃ πρὸς τὸν πατέρα,
αἰσχρόν ἐστι μὴ οὐκ ἄλλας πληγὰς ἐμβάλλειν τῷ υἱεῖ.
οὕτω πιστεύουσιν ἀλλήλοις μηδὲν αἰσχρὸν προστάττειν
τοῖς παισίν. ἐποίησε δὲ καὶ οἰκέταις, εἴ τις δεηθείη, 3
χρῆσθαι καὶ τοῖς ἀλλοτρίοις. καὶ κυνῶν δὲ θηρευτικῶν
συνῆψε κοινωνίαν· ὥστε οἱ μὲν δεόμενοι παρακαλοῦσιν
ἐπὶ θήραν, ὁ δὲ μὴ αὐτὸς σχολάζων ἡδέως ἐκπέμπει.
καὶ ἵπποις δὲ ὡσαύτως χρῶνται· ὁ γὰρ ἀσθενήσας ἢ
δεηθεὶς ὀχήματος ἤ ταχύ ποι βουληθεὶς ἀφικέσθαι, ἤν
που ἴδῃ ἵππον ὄντα, λαβὼν καὶ χρησάμενος καλῶς ἀπο-
καθίστησιν. οὐ μὴν οὐδ' ἐκεῖνό γε παρὰ τοῖς ἄλλοις 4
εἰθισμένον ἐποίησεν ἐπιτηδεύεσθαι. ὅπου γὰρ ἂν ὑπὸ
θήρας ὀψισθέντες δεηθῶσι τῶν ἐπιτηδείων, ἢν μὴ
συνεσκευασμένοι τύχωσι, καὶ ἐνταῦθα ἔθηκε τοὺς μὲν

γὰρ οὐκ ἰδίους ἡγεῖτο τῶν πατέρων τοὺς παῖδας, ἀλλὰ κοινοὺς τῆς πόλεως ὁ Λυκοῦργος, ὅθεν οὐκ ἐκ τῶν τυχόντων, ἀλλ' ἐκ τῶν ἀρίστων ἐβούλετο γεγονότας εἶναι τοὺς πολίτας. 3—5 exc. [Plut.] Inst. Lacon. 11 p. 237 D *παῖς δὲ ὑπό τινος κολασθεὶς εἰ τῷ πατρὶ ἐξήγγειλεν, αἰσχρὸν ἦν τῷ πατρὶ μὴ προσεντεῖναι ἀκούσαντα πάλιν ἑτέρας· ἐπίστευον γὰρ ἑαυτοῖς ἐκ τῆς πατρίου ἀγωγῆς μηδὲν αἰσχρὸν προστάξαι τοῖς τέκνοις.* 8—14, 3 exc. Aristot. Pol. B 5. 263ª 35—37 *οἷον καὶ ἐν Λακεδαίμονι τοῖς τε δούλοις χρῶνται τοῖς ἀλλήλων ὡς* [*εἰπεῖν*] *ἰδίοις, ἔτι δ' ἵπποις καὶ κυσίν, κἂν δεηθῶσιν ἐφοδίων ἐν τοῖς ἀγροῖς* [*ταῖς ἄγραις* Busse], ⟨*τοῖς* add. Sauppe⟩ *κατὰ τὴν χώραν.* [Plut.] Inst. Lac. 23 p. 238 E *τοῖς τῶν πλησίον οἰκέταις ὡς ἰδίοις χρῆσθαι ἔθος ἦν, εἴ που δέοιντο, καὶ κυσὶ καὶ ἵπποις, εἰ μη οἱ δεσπόται χρῄζοιεν. καὶ ἐν ἀγρῷ δὲ εἴ τίς τινος ἐλλιπὴς γενόμενος δεηθείη, ἀνοίξας καὶ βαστάσας τὰ ἐπιτήδεια τοῦ ἔχοντος, τὰ σημεῖα σημηνάμενος κατέλειπεν.*

1 *οὗτοι*] *τοι οἱ* vel *ἔτι οἱ* Zeune *οὗτοι οἳ καὶ τῶν ἑαυτοῦ ἄρχουσιν* vel *ἄρξουσι* Dind. ‖ *τὸν* α M ς Stob. ‖ 2 *ἄρχειν οὕτως* Stob. ‖ 6 *ἀλλήλους* A B M ς ‖ *μηδὲν* ⟨*ἂν*⟩ Cobet, at. cf. [Plut.] ‖ *προστάξειν* Dind. ‖ 7 *οἰκέταις* ⟨*ὡς ἰδίοις*⟩ Brodaeus ‖ 11 *ἢ* delet Köhler (a. a. O. p. 363) ‖ 12 *ποι* Heindorf: *που* ‖ 14 *οὐδὲ* V[3] *δ'* B ‖ *γε* Weiske: *τὸ*.

πεπαμένους καταλείπειν τὰ πεποιημένα, τοὺς δὲ δεομένους ἀνοίξαντας τὰ σήμαντρα, λαβόντας ὅσων ἂν δέωνται, σημηναμένους καταλιπεῖν. τοιγαροῦν οὕτως μεταδιδόντες ἀλλήλοις καὶ οἱ τὰ μικρὰ ἔχοντες μετέχουσι πάντων τῶν ἐν τῇ χώρᾳ, ὁπόταν τινὸς δεηθῶσιν.

VII.

1 *Ἐναντία γε μὴν καὶ τάδε τοῖς ἄλλοις Ἕλλησι κατέστη-*
σεν ὁ Λυκοῦργος ἐν τῇ Σπάρτῃ νόμιμα. ἐν μὲν γὰρ
δήπου ταῖς ἄλλαις πόλεσι πάντες χρηματίζονται ὅσον
δύνανται· ὁ μὲν γὰρ γεωργεῖ, ὁ δὲ ναυκληρεῖ, ὁ δ' ἐμ-
2 *πορεύεται, οἱ δὲ καὶ ἀπὸ τεχνῶν τρέφονται· ἐν δὲ τῇ*
Σπάρτῃ ὁ Λυκοῦργος τοῖς [μὲν] ἐλευθέροις τῶν μὲν ἀμφὶ
χρηματισμὸν ἀπεῖπε μηδενὸς ἅπτεσθαι, ὅσα δὲ ἐλευ-
θερίαν ταῖς πόλεσι παρασκευάζει, ταῦτα ἔταξε μόνα
3 *ἔργα αὐτῶν νομίζειν. καὶ γὰρ δὴ τί πλοῦτος ἐκεῖ γε*
σπουδαστέος, ἔνθα ἴσα μὲν φέρειν εἰς τὰ ἐπιτήδεια,
ὁμοίως δὲ διαιτᾶσθαι τάξας ἐποίησε μὴ ἡδυπαθείας
ἕνεκα χρημάτων ὀρέγεσθαι; ἀλλὰ μὴν οὐδ' ἱματίων γε
ἕνεκα χρηματιστέον· οὐ γὰρ ἐσθῆτος πολυτελείᾳ, ἀλλὰ
4 *σώματος εὐεξίᾳ κοσμοῦνται. οὐδὲ μὴν τοῦ γε εἰς τοὺς*
συσκήνους ἕνεκα ἔχειν δαπανᾶν χρήματα ἀθροιστέον, ἐπεὶ
τὸ τῷ σώματι πονοῦντα ὠφελεῖν τοὺς συνόντας εὐδοξό-
τερον ἐποίησεν ἢ τὸ δαπανῶντας, ἐπιδείξας τὸ μὲν
5 *ψυχῆς, τὸ δὲ πλούτου ἔργον. τό γε μὴν ἐξ ἀδίκων χρη-*

---

1 *πεπαμένους* cf. Etym. M. 681, 25 *πασάμενος πολλάκις Ξενοφῶν λέγει ἀντὶ τοῦ κτησάμενος*. 10 *ἐν δὲ τῇ Σπάρτῃ* — 15 *σπουδαστέος* Stob. l. c. (p. 179, 3—7).

1 *πεπαμένους* (B?) Zeune *πεπαυμένους* cett. ‖ *κατακλῄειν* Herwerden ‖ ⟨*περι*⟩ *πεποιημένα* K. Schenkl. ‖ 2 *καὶ λαβόντας* Löw. ‖ 3 *οὕτω* CM1ς ‖ 6 *Ἕλλησι* om. BC ‖ 10 *δὲ* alt. om. Stob. ‖ 11 *μὲν* quod om. Stob. del. Dind. ‖ *μὲν* post *τῶν* om. BC ‖ 13 *ἐν ταῖς* Stob. ‖ *ἔταξεν* Stob. ‖ 14 *αὑτῶν* BCς *ἑαυτῶν* Stob. *αὐτῶν* cett. ‖ *καὶ*] *οὐ* Stob. ‖ *δή τι* Stob. ‖ 15 *ἐσπούδασται* Stob. ‖ 20 *ἕνεκα* secludit Weiske ‖ 21 *τὸ* om. Mς ‖ 21. 22 *ἐνδοξότερον* Morus ‖ 22 *τῷ* Brodaeus ‖ *δαπανῶντα* Morus.

ματίζεσθαι καὶ ἐν τοῖς τοιούτοις διεκώλυσε. πρῶτον μὲν γὰρ νόμισμα τοιοῦτον κατεστήσατο, ὃ δέκα μνῶν μόνον ἂν εἰς οἰκίαν εἰσελθὸν οὔτε δεσπότας οὔτε οἰκέτας λάθοι· καὶ γὰρ χώρας μεγάλης καὶ ἁμάξης ἀγωγῆς δέοιτ' ἄν. χρυσίον γε μὴν καὶ ἀργύριον ἐρευνᾶται, καὶ ἄν τί 6
που φανῇ, ὁ ἔχων ζημιοῦται. τί οὖν ἂν ἐκεῖ χρηματισμὸς σπουδάζοιτο, ἔνθα ἡ κτῆσις πλείους λύπας ἢ ἡ χρῆσις εὐφροσύνας παρέχει;

VIII.

Ἀλλὰ γὰρ ὅτι μὲν ἐν Σπάρτῃ μάλιστα πείθονται 1
ταῖς ἀρχαῖς τε καὶ τοῖς νόμοις, ἴσμεν ἅπαντες. ἐγὼ μέντοι οὐδ' ἐγχειρῆσαι οἶμαι πρότερον τὸν Λυκοῦργον ταύτην τὴν εὐταξίαν καθιστάναι, πρὶν ὁμογνώμονας ἐποιήσατο τοὺς κρατίστους τῶν ἐν τῇ πόλει. τεκμαίρο- 2
μαι δὲ ταῦτα, ὅτι ἐν μὲν ταῖς ἄλλαις πόλεσιν οἱ δυνατώτεροι οὐδὲ βούλονται δοκεῖν τὰς ἀρχὰς φοβεῖσθαι, ἀλλὰ νομίζουσι τοῦτο ἀνελεύθερον εἶναι· ἐν δὲ τῇ Σπάρτῃ οἱ κράτιστοι καὶ ὑπέρχονται μάλιστα τὰς ἀρχὰς καὶ τῷ ταπεινοὶ εἶναι μεγαλύνονται καὶ τῷ ὅταν καλῶνται τρέχοντες ἀλλὰ μὴ βαδίζοντες ὑπακούειν, νομίζοντες, ἢν αὐτοὶ κατάρχωσι τοῦ σφόδρα πείθεσθαι, ἕψεσθαι καὶ τοὺς ἄλλους· ὅπερ καὶ γεγένηται. εἰκὸς δὲ καὶ τὴν τῆς 3

1 *πρῶτον* — 5 *ἀγωγῆς δέοιτ' ἄν* exc. Plutarch. Lyc. 9 (p. 87, 23—27) *πρῶτον μὲν γὰρ ἀκυρώσας πᾶν νόμισμα χρυσοῦν καὶ ἀργυροῦν μόνῳ χρῆσθαι τῷ σιδηρῷ προσέταξε· καὶ τούτῳ δὲ ἀπὸ πολλοῦ σταθμοῦ καὶ ὄγκου δύναμιν ὀλίγην ἔδωκεν, ὥστε δέκα μνῶν ἀμοιβὴν ἀποθήκας τε μεγάλης ἐν οἰκίᾳ δεῖσθαι καὶ ζεύγους ἄγοντος.* 21 *τὴν τῆς ἐφορείας* — 16, 3 *ἐν οἴκῳ* sic concinnavit Stob. l. c. (p. 180, 7—9): *ἐπεὶ δὲ ἔγνω τὸ πείθεσθαι — καὶ ἐπ' οἴκῳ τὴν τῆς ἐφορείας δύναμιν κατεσκεύασεν.*

2 *δεκάμνων* Dind. ‖ 3 *οὔτε.* prius, B *οὔποτε* cett. ‖ *μόνον ⟨ὂν⟩* Heindorf ‖ 4 *ἀγούσης* Dind. ex Plut. ad v. 1 cit. ‖ *καὶ ἂν*] *κἂν* Dind. ‖ 9 *μάλιστα* om. V[3] ‖ 11 *τὸν* om. V[3] ‖ 12 *εὐταξίαν* (M?) Dind. *εὐδοξίαν* V[3] *εὐεξίαν* cett. ‖ 14 *ταύτῃ* Dind. ‖ 15 *οὐδὲ* ς *οὔτε* cett. *οὔτι* Zeune ‖ 21 ante *ὅπερ* verba quaedam excidisse suspicatur Schneid. ‖ *καὶ ⟨ἀεὶ⟩* K. Schenkl ‖ *γίγνεται* A. Wulff (*Quaest. in Xen. De R. Lac.* Münster 1884).

ἐφορείας δύναμιν τοὺς αὐτοὺς τούτους συγκατασκευάσαι,
ἐπείπερ ἔγνωσαν τὸ πείθεσθαι μέγιστον ἀγαθὸν εἶναι
καὶ ἐν πόλει καὶ ἐν στρατιᾷ καὶ ἐν οἴκῳ· ὅσῳ γὰρ μείζω
δύναμιν ἔχει ἡ ἀρχή, τοσούτῳ μᾶλλον [ἂν] ἡγήσαντο αὐτὴν
4 *καὶ καταπλήξειν τοὺς πολίτας τοῦ ὑπακούειν. ἔφοροι*
οὖν ἱκανοὶ μέν εἰσι ζημιοῦν ὃν ἂν βούλωνται, κύριοι δ'
ἐκπράττειν παραχρῆμα, κύριοι δὲ καὶ ἄρχοντας μεταξὺ
[καὶ] καταπαῦσαι καὶ εἷρξαί γε καὶ περὶ τῆς ψυχῆς εἰς
ἀγῶνα καταστῆσαι. τοσαύτην δὲ ἔχοντας δύναμιν οὐχ
ὥσπερ αἱ ἄλλαι πόλεις ἐῶσι τοὺς αἱρεθέντας διάρχειν
τὸ ἔτος ὅπως ἂν βούλωνται, ἀλλ' ὥσπερ οἱ τύραννοι
καὶ οἱ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν ἐπιστάται, ἤν τινα
αἰσθάνωνται παρανομοῦντά τι, εὐθὺς παραχρῆμα κολά-
5 *ζουσι. πολλῶν δὲ καὶ ἄλλων ὄντων μηχανημάτων καλῶν*
τῷ Λυκούργῳ εἰς τὸ πείθεσθαι τοῖς νόμοις ἐθέλειν
τοὺς πολίτας, ἐν τοῖς καλλίστοις καὶ τοῦτό μοι δοκεῖ
εἶναι, ὅτι οὐ πρότερον ἀπέδωκε τῷ πλήθει τοὺς νόμους,
πρὶν ἐλθὼν σὺν τοῖς κρατίστοις εἰς Δελφοὺς ἐπήρετο
τὸν θεόν, εἰ λῷον καὶ ἄμεινον εἴη τῇ Σπάρτῃ πειθο-
μένῃ οἷς αὐτὸς ἔθηκε νόμοις. ἐπεὶ δ' ἀνεῖλε τῷ παντὶ
ἄμεινον εἶναι, τότε ἀπέδωκεν, οὐ μόνον ἄνομον ἀλλὰ
καὶ ἀνόσιον θεὶς τὸ πυθοχρήστοις νόμοις μὴ πείθεσθαι.

---

5 *ἔφοροι* — 9 *καταστῆσαι* Stob. l. c. (p. 180, 10—13). 14 *πολλῶν* — 22 *πείθεσθαι* Stob. l. c. (p. 180, 14—23).

2 *ἐπεὶ δὲ* Stob. ‖ *ἔγνω* Stob. ‖ 3 *ἐν τῇ πόλει* V³ G ‖ *ἐν τῇ στρατιᾷ* V³ ‖ *ἐπ' οἴκῳ* Stob. ‖ 3 *ὅσῳ* — 5 *ὑπακούειν* delenda censeo ‖ 4 *ἔχοι* Dind. ‖ *ἂν* om. C ς del. Schneid. ‖ *ἡγήσατο* C et ut vid. B ς ‖ 5 *καταπλήσειν* dubitanter Saupp. ‖ *τοῦ ὑπ.* spuria vidd. Schneid. *εἰς τὸ ὑπ.* Cobet 730 ‖ 6 *ἱκανοὶ*] *δυνατοὶ* Stob. *κύριοι* Cobet 730 ‖ *δὲ* Stob. ‖ 7 *πράττειν* Stob. *εἰσπράττειν* B C ‖ 8 *καὶ* prius om. Stob. del. Dind. ‖ *γε*] *τε* Stob. *δὲ* Schneid. ‖ 9 *ἔχοντας* Morus: *ἔχοντες* ‖ 10 *διάρχειν* Cobet 731: *ἀεὶ ἄρχειν* ‖ 14 *καὶ* — *καλῶν*] *ὄντων καλῶν μηχ.* Stob. ‖ 16 *τοῦτό μοι* codd. *τό μοι* (quod haud displicet Dielsio) Stob.[SMA] *τόδε μοι* („fortasse recte" Hense) Stob.[L] ‖ 20 *δὲ* α M ς ‖ 21 *ἀλλὰ* — 22 *θεὶς*] *δείξας ἀλλὰ καὶ ἀνόσιον* Stob.

IX.

Ἄξιον δὲ τοῦ Λυκούργου καὶ τόδε ἀγασθῆναι, τὸ 1
κατεργάσασθαι ἐν τῇ πόλει αἱρετώτερον εἶναι τὸν καλὸν
θάνατον ἀντὶ τοῦ αἰσχροῦ βίου· καὶ γὰρ δὴ ἐπισκοπῶν
τις ἂν εὕροι μείους ἀποθνῄσκοντας τούτων ⟨ἢ⟩ τῶν ἐκ
τοῦ φοβεροῦ ἀποχωρεῖν αἱρουμένων. ὡς τἀληθὲς εἰπεῖν 2
καὶ ἕπεται τῇ ἀρετῇ σῴζεσθαι εἰς τὸν πλείω χρόνον
μᾶλλον ἢ τῇ κακίᾳ· καὶ γὰρ ῥᾴων καὶ ἡδίων καὶ εὐπορωτέρα
καὶ ἰσχυροτέρα. δῆλον δὲ ὅτι καὶ εὔκλεια μάλιστα
ἕπεται τῇ ἀρετῇ· καὶ γὰρ συμμαχεῖν πως πάντες τοῖς
ἀγαθοῖς βούλονται. ᾗ μέντοι ὥστε ταῦτα γίγνεσθαι 3
ἐμηχανήσατο, καὶ τοῦτο καλὸν μὴ παραλιπεῖν. ἐκεῖνος
τοίνυν σαφῶς παρεσκεύασε τοῖς μὲν ἀγαθοῖς εὐδαιμονίαν,
τοῖς δὲ κακοῖς κακοδαιμονίαν. ἐν μὲν γὰρ ταῖς ἄλλαις 4
πόλεσιν ὁπόταν τις κακὸς γένηται, ἐπίκλησιν μόνον ἔχει
κακὸς εἶναι, ἀγοράζει δὲ ἐν τῷ αὐτῷ ὁ κακὸς τἀγαθῷ
καὶ κάθηται καὶ γυμνάζεται, ἐὰν βούληται· ἐν δὲ τῇ
Λακεδαίμονι πᾶς μὲν ἂν τις αἰσχυνθείη τὸν κακὸν
σύσκηνον παραλαβεῖν, πᾶς δ' ἂν ἐν παλαίσματι συγγυμναστήν.
πολλάκις δ' ὁ τοιοῦτος καὶ διαιρουμένων 5
τοὺς ἀντισφαιριοῦντας ἀχώριστος περιγίγνεται καὶ ἐν
χοροῖς δ' εἰς τὰς ἐπονειδίστους χώρας ἀπελαύνεται, καὶ
μὴν ἐν ὁδοῖς παραχωρητέον αὐτῷ καὶ ἐν θάκοις καὶ [ἐν]
τοῖς νεωτέροις ὑπαναστατέον, καὶ τὰς μὲν προσηκούσας

---

1 ἄξιον — 3 βίου Stob. l. c. (p. 179, 8—10). 17 exc. Nicol. Dam. (Stob. III 44, 41 p. 188, 23 Meineke) αἰσχρὸν δέ ἐστι δειλῶν σύσκηνον ἢ συγγυμναστὴν ἢ φίλον γενέσθαι.

2 κατεργάζεσθαι Stob. ‖ 4 τῶν τούτων ἐκ Wulff ‖ ⟨ἢ⟩ Heindorf ‖ 5 ὡς τἀληθὲς ς Dind. ὥστ' ἀλ. sive ὥστε ἀλ. cett. ὥστε τἀληθὲς Heindorf ‖ 6 καὶ — 7 ῥᾴων] ὅτι ἕπεται τῇ ἀρ. εἰς τὸν π. χ. μᾶλλον ἢ τ. κ. βιοτὴ καὶ ῥᾴων Schneid. ‖ 6 ⟨τὸ⟩ σώζ. Morus ‖ 7 ῥᾴων ⟨ἐστὶ⟩ Weiske ‖ 8 δὲ] δὲ καὶ BC ‖ 10 καὶ add. ante ταῦτα V^3 ‖ 18 παλαίσμασι Steph. ‖ 19 δὲ ὁ Schneid. ‖ δι' αἱρουμένων Zeune ‖ 23 τοῖς (B?) Steph.: ἐν τοῖς ‖ τοῖς νεωτέροις post καὶ μὴν [22] aut cum Heindorfio post ὑπαναστατέον ponit Herwerden.

κόρας οἴκοι θρεπτέον καὶ ταύταις τῆς ἀνανδρίας αἰτίαν ὑφεκτέον, γυναικὸς δὲ κενὴν ἑστίαν οὐ περιοπτέον καὶ ἅμα τούτου ζημίαν ἀποτιστέον, λιπαρὸν δὲ οὐ πλανητέον οὐδὲ μιμητέον τοὺς ἀνεγκλήτους, ἢ πληγὰς ὑπὸ τῶν
6 *ἀμεινόνων ληπτέον. ἐγὼ μὲν δὴ τοιαύτης τοῖς κακοῖς ἀτιμίας ἐπικειμένης οὐδὲν θαυμάζω τὸ προαιρεῖσθαι ἐκεῖ θάνατον ἀντὶ τοῦ οὕτως ἀτίμου τε καὶ ἐπονειδίστου βίου.*

X.

1 *Καλῶς δέ μοι δοκεῖ ὁ Λυκοῦργος νομοθετῆσαι καὶ ᾗ μέχρι γήρως ἀσκοῖτ' ἂν ἀρετή. ἐπὶ γὰρ τῷ τέρματι τοῦ βίου τὴν κρίσιν τῆς γεροντίας προσθεὶς ἐποίησε*
2 *μηδὲ ἐν τῷ γήρᾳ ἀμελεῖσθαι τὴν καλοκἀγαθίαν. ἀξιάγαστον δ' αὐτοῦ καὶ τὸ ἐπικουρῆσαι τῷ τῶν ἀγαθῶν γήρᾳ· θεὶς γὰρ τοὺς γέροντας κυρίους τοῦ περὶ τῆς ψυχῆς ἀγῶνος διέπραξεν ἐντιμότερον εἶναι τὸ γῆρας*
3 *τῆς τῶν ἀκμαζόντων ῥώμης. εἰκότως δέ τοι καὶ σπου-*

1—5 exc. Plutarch. Agesil. 30 (III p. 175, 20—23) *οὐ γὰρ μόνον ἀρχῆς ἀπείργονται πάσης* ⟨scil. *οἱ ἐν τῇ μάχῃ καταδειλιάσαντες*⟩, *ἀλλὰ καὶ δοῦναί τινι τούτων γυναῖκα καὶ λαβεῖν ἄδοξόν ἐστι· παίει δὲ ὁ βουλόμενος αὐτοὺς τῶν ἐντυγχανόντων. οἱ δὲ καρτεροῦσι περιϊόντες αὐχμηροὶ καὶ ταπεινοὶ κτλ.* 9 *καλῶς* — 19, 5.6 *ἀξιοσπουδαστότεροι* Stob. l. c. (p. 179, 11—24). 10 sqq. exc. Nicol. Damasc. (Stob. III 44, 41 p. 188, 21 Mein.) *κρίσις δὲ τῆς γεροντίας ἐπὶ τῷ τέρματι τοῦ βίου προστίθεται τοῖς εὖ ἢ κακῶς ζήσασιν.* 11—16 exc. Plutarch. Lyc. 26 (p. 109, 5—15) *τοὺς δὲ γέροντας αὐτὸς μέν, ὡς εἴρηται, κατέστησεν τὸ πρῶτον ἐκ τῶν μετασχόντων τοῦ βουλεύματος· ὕστερον δὲ ἀντὶ τοῦ τελευτῶντος ἔταξε καθιστάναι τὸν ἄριστον ἀρετῇ κριθέντα τῶν ὑπὲρ ἑξήκοντα ἔτη γεγονότων. καὶ μέγιστος ἐδόκει τῶν ἐν ἀνθρώποις ἀγώνων οὗτος εἶναι καὶ περιμαχητότατος· οὐ γὰρ ἐν ταχέσι τάχιστον οὐδ' ἐν ἰσχυροῖς ἰσχυρότατον, ἀλλ' ἐν ἀγαθοῖς καὶ σώφροσιν ἄριστον καὶ σωφρονέστατον ἔδει κριθέντα νικητήριον ἔχει τῆς ἀρετῆς διὰ βίου τὸ σύμπαν, ὡς εἰπεῖν, κράτος ἐν τῇ πολιτείᾳ, κύριον ὄντα καὶ θανάτου καὶ ἀτιμίας καὶ ὅλως τῶν μεγίστων.*

1 *ἀνανδρίας* Camerarius *ἀνανδρείας* G *ἀνδρείας* s. *ἀνδρίας* cett. ‖ 2 *κοινὴν* Baumg. Crusius ‖ *οὐ* om. M del. Dind. ‖ 3 *τούτῳ* vel *τούτοις* Haas ‖ *λιπαρῶς* Morus ‖ 9 *ὁ* om. Stob. ‖ 10 *ᾗ*] *εἰ* M ς Stob. ‖ *ἡ ἀρετὴ* Stob. ‖ 11 *προθεὶς* Stob. ‖ 12 *μηδ'* Stob. ‖ 14 *τῆς* om. V³G.

δάζεται οὗτος ὁ ἀγὼν μάλιστα τῶν ἀνθρώπων. καλοὶ μὲν γὰρ καὶ οἱ γυμνικοί· ἀλλ᾽ οὗτοι μὲν σωμάτων [εἰσίν]· ὁ δὲ περὶ τῆς γεροντίας ἀγὼν ψυχῶν ἀγαθῶν κρίσιν παρέχει. ὅσῳ οὖν κρείττων ψυχὴ σώματος, τοσούτῳ καὶ οἱ ἀγῶνες οἱ τῶν ψυχῶν ἢ οἱ τῶν σωμάτων ἀξιοσπουδαστότεροι.

Τόδε γε μὴν τοῦ Λυκούργου πῶς οὐ μεγάλως ἄξιον 4
ἀγασθῆναι; ὃς ἐπειδὴ κατέμαθεν, ὅτι ⟨ἔστιν⟩ ὅπου οἱ βου-
λόμενοι ἐπιμελεῖσθαι τῆς ἀρετῆς οὐχ ἱκανοί εἰσι τὰς
πατρίδας αὔξειν, ἐκεῖνος ἐν τῇ Σπάρτῃ ἠνάγκασε δημοσίᾳ
πάντας πάσας ἀσκεῖν τὰς ἀρετάς. ὥσπερ οὖν οἱ ἰδιῶται
τῶν ἰδιωτῶν διαφέρουσιν ἀρετῇ οἱ ἀσκοῦντες τῶν ἀμε-
λούντων, οὕτως καὶ ἡ Σπάρτη εἰκότως πασῶν τῶν πόλεων
ἀρετῇ διαφέρει, μόνη δημοσίᾳ ἐπιτηδεύουσα τὴν καλοκά-
γαθίαν. οὐ γὰρ κἀκεῖνο καλόν, τὸ τῶν ἄλλων πόλεων 5
κολαζουσῶν, ἤν τίς τι ἕτερος ἕτερον ἀδικῇ, ἐκεῖνον ζημίας
μὴ ἐλάττους ἐπιθεῖναι, εἴ τις φανερὸς εἴη ἀμελῶν τοῦ
ὡς βέλτιστος εἶναι; ἐνόμιζε γάρ, ὡς ἔοικεν, ὑπὸ μὲν τῶν 6
ἀνδραποδιζομένων τινὰς ἢ ἀποστερούντων τι ἢ κλεπτόν-
των τοὺς βλαπτομένους μόνον ἀδικεῖσθαι, ὑπὸ δὲ τῶν
κακῶν καὶ ἀνάνδρων ὅλας τὰς πόλεις προδίδοσθαι. ὥστε
εἰκότως ἔμοιγε δοκεῖ τούτοις μεγίστας ζημίας ἐπιθεῖναι.
ἐπέθηκε δὲ καὶ τὴν ἀνυπόστατον ἀνάγκην ἀσκεῖν ἅπασαν 7
πολιτικὴν ἀρετήν. τοῖς μὲν γὰρ τὰ νόμιμα ἐκτελοῦσιν
ὁμοίως ἅπασι τὴν πόλιν οἰκείαν ἐποίησε καὶ οὐδὲν ὑπε-
λογίσατο οὔτε σωμάτων οὔτε χρημάτων ἀσθένειαν· εἰ δέ
τις ἀποδειλιάσειε τοῦ τὰ νόμιμα διαπονεῖσθαι, τοῦτον
ἐκεῖνος ἀπέδειξε μηδὲ νομίζεσθαι ἔτι τῶν ὁμοίων εἶναι.

1 *μάλιστ᾽ ἀνθρώπων* Schaefer; *μάλιστα πάντων ἀνθρώπων* Hense, ap. Stob. ‖ *ἀνθρωπίνων* Stob. ‖ 2 *καὶ* om. Stob. ‖ *εἰσίν* om. Stob. ‖ 4 *κρεῖττον* M ς *κρεῖσσον* Stob. ‖ 8 *ἔστιν* add. Cobet 733 ‖ *ὅπως* ς *αὐτοὶ* Wulff ‖ *οἱ*] *οἱ μὴ* Löw. *ὀλίγοι* Schneid. ‖ 10 *ἐκεῖνο* mg. H, Steph. ‖ *τῇ* om. M ‖ 11 *οἱ — 13 οὕτως*] *ἰδιῶται ἰδιωτῶν οἱ ἀσκ. τῶν ἀμ. διαφέρουσι τῇ ἀρ. οὕτως* Schneid. ‖ 11 *οἱ* om. H ‖ 12 *τῶν* prius om. D ‖ 12. 13 *οἱ ἀσκ. τῶν ἀμ.* interpretamentum grammatici vid. Weiskio ‖ 13 *οὕτω* M ς ‖ 20 *μόνους* V³ ‖ 28 *ἐκεῖνος* Jacobs (*Addit.* 303): *ἐκεῖ* ‖ *μηδὲ* Zeune: *μήτε*.

8 *ἀλλὰ γὰρ ὅτι μὲν παλαιότατοι οὗτοι οἱ νόμοι εἰσί, σαφές·
ὁ γὰρ Λυκοῦργος κατὰ τοὺς Ἡρακλείδας λέγεται γενέσθαι·
οὕτω δὲ παλαιοὶ ὄντες ἔτι καὶ νῦν τοῖς ἄλλοις καινότατοί
εἰσι· καὶ γὰρ τὸ πάντων θαυμαστότατον ἐπαινοῦσι μὲν
πάντες τὰ τοιαῦτα ἐπιτηδεύματα, μιμεῖσθαι δὲ αὐτὰ
οὐδεμία πόλις ἐθέλει.*

XI.

1 *Καὶ ταῦτα μὲν δὴ κοινὰ ἀγαθὰ καὶ ἐν εἰρήνῃ καὶ ἐν
πολέμῳ· εἰ δέ τις βούλεται καταμαθεῖν, ὅ,τι καὶ εἰς τὰς
στρατείας βέλτιον τῶν ἄλλων ἐμηχανήσατο, ἔξεστι καὶ τού-*
2 *των ἀκούειν. πρῶτον μὲν τοίνυν οἱ ἔφοροι προκηρύττουσι
τὰ ἔτη, εἰς ἃ δεῖ στρατεύεσθαι καὶ ἱππεῦσι καὶ ὁπλίταις,
ἔπειτα δὲ καὶ τοῖς χειροτέχναις· ὥστε ὅσοισπερ ἐπὶ πό-
λεως χρῶνται ἄνθρωποι, πάντων τούτων καὶ ἐπὶ στρα-
τιᾶς οἱ Λακεδαιμόνιοι εὐποροῦσι· καὶ ὅσων δὲ ὀργάνων
ἡ στρατιὰ κοινῇ δεηθείη ἄν, ἅπαντα τὰ μὲν ἁμάξῃ
προστέτακται παρέχειν, τὰ δὲ ὑποζυγίῳ· οὕτω γὰρ ἥκιστ᾽*
3 *ἂν τὸ ἐκλεῖπον διαλάθοι. εἴς γε μὴν τὸν ἐν τοῖς ὅπλοις
ἀγῶνα τοιάδ᾽ ἐμηχανήσατο, στολὴν μὲν ἔχειν φοινικίδα
καὶ χαλκῆν ἀσπίδα, ταύτην νομίζων ἥκιστα μὲν γυναικείᾳ*

---

2 *ὁ γὰρ — γενέσθαι* Plutarch. Lyc. 1 (p. 78, 21—27) *δίδωσι δὲ καὶ Ξενοφῶν ὑπόνοιαν ἀρχαιότητος ἐν οἷς τὸν ἄνδρα λέγει γεγονέναι κατὰ τοὺς Ἡρακλείδας. γένει μὲν γὰρ Ἡρακλεῖδαι δήπουθεν ἦσαν καὶ οἱ νεώτατοι τῶν ἐν Σπάρτῃ βασιλέων, ὁ δὲ ἔοικε βουλομένῳ τοὺς πρώτους ἐκείνους καὶ σύνεγγυς Ἡρακλέους ὀνομάζειν Ἡρακλείδας.* 17 *εἴς γε μὴν* — 19 *ἀσπίδα* Stob. l. c. (p. 179, 26—28). 18 *φοινικίδα*] exc. [Plutarch.] Inst. lacon. 24 p. 238 F *ἐν τοῖς πολέμοις φοινικίσιν ἐχρῶντο, ἅμα μὲν γὰρ ἡ χρόα ἐδόκει αὐτοῖς ἀνδρικὴ εἶναι, ἅμα δὲ τὸ αἱματῶδες τοῦ χρώματος πλείονα τοῖς ἀπείροις φόβον παρέχειν· καὶ τὸ μὴ εὐπερίφωρον δὲ τοῖς πολεμίοις εἶναι, ἐάν τις αὐτῶν πληγῇ, ἀλλὰ διαλανθάνειν διὰ τὸ ὁμόχρουν χρήσιμον.*

1 *παλαίτατοι* Dind. ‖ 9 *στρατείας* A *στρατειὰς* Z *στρατιὰς* cett. ‖ *βελτίω* Morus ‖ 14 *ὅσων* Dind. ex edd. Turic. Scriptt. milit. II, 1 p. 104: *ὅσα* ‖ *ἐκποροῦσι* Mς ‖ 15 *ἅπαντα* Dind. ex edd. Turic. Scrippt. milit. ibid., *ἁπάντων τούτων* Schneid.: *ἁπάντων* ‖ 17 *ἐλλεῖπον* Schneid. ‖ *τοῖς* om. Stob. ‖ 18 *τοιάδε* C Stob. ‖ 19 *καὶ — ἀσπίδα* uncis incl. Haas, post *εἶναι* ponit Wulff ‖ 19—21, 2 verba *ταύτην — ῥυπαίνεται* scholion mihi sapiunt.

κοινωνεῖν, πολεμικωτάτην δ' εἶναι· καὶ γὰρ τάχιστα λαμπρύνεται καὶ σχολαιότατα ῥυπαίνεται. ἐφῆκε δὲ καὶ κομᾶν τοῖς ὑπὲρ τὴν ἡβητικὴν ἡλικίαν, νομίζων οὕτω καὶ μείζους ἂν καὶ ἐλευθεριωτέρους καὶ γοργοτέρους φαίνεσθαι. οὕτω γε μὴν κατεσκευασμένων μόρας μὲν διεῖλεν 4 ἓξ καὶ ἱππέων καὶ ὁπλιτῶν. ἑκάστη δὲ τῶν πολιτικῶν μορῶν ἔχει πολέμαρχον ἕνα, λοχαγοὺς τέσσαρας, πεντηκοντῆρας ὀκτώ, ἐνωμοτάρχους ἑκκαίδεκα. ἐκ δὲ τούτων τῶν μορῶν διὰ παρεγγυήσεως καθίστανται τοτὲ μὲν εἰς ἐνωμοτίας, τοτὲ δὲ εἰς τρεῖς, τοτὲ δὲ εἰς ἕξ. ὃ δὲ οἱ 5 πλεῖστοι οἴονται, πολυπλοκωτάτην εἶναι τὴν ἐν ὅπλοις Λακωνικὴν τάξιν, τὸ ἐναντιώτατον ὑπειλήφασι τοῦ ὄντος· εἰσὶ μὲν γὰρ ἐν τῇ Λακωνικῇ τάξει οἱ πρωτοστάται ἄρχοντες καὶ ὁ στίχος ἕκαστος πάντ' ἔχων ὅσα δεῖ

---

2 ἐφῆκε — 10 εἰς ἕξ Stob. l. c. (p. 179, 29—180, 6). 2. 3 κομᾶν] exc. Plutarch. Lyc. 22 (p. 105, 10—18) τότε δὲ καὶ τοῖς νέοις τὰ σκληρότατα τῆς ἀγωγῆς ἐπανιέντες οὐκ ἐκώλυον καλλωπίζεσθαι περὶ κόμην καὶ κόσμον ὅπλων καὶ ἱματίων, χαίροντες, ὥσπερ ἵπποις, γαυριῶσι καὶ φρυαττομένοις πρὸς τοὺς ἀγῶνας. διὸ κομῶντες εὐθὺς ἐκ τῆς τῶν ἐφήβων ἡλικίας μάλιστα περὶ τοὺς κινδύνους ἐθεράπευον τὴν κόμην λιπαράν τε φαίνεσθαι καὶ διακεκριμένην, ἀπομνημονεύοντές τινα καὶ Λυκούργου λόγον περὶ τῆς κόμης, ὅτι τοὺς μὲν καλοὺς εὐπρεπεστέρους ποιεῖ, τοὺς δὲ αἰσχροὺς φοβερωτέρους. 6—8 Harpocrat. μόραν. Δημοσθένης Φιλιππικοῖς, συντάγματά τινα Λακωνικὰ οὕτω καλεῖται. διείλεκται δὲ περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ, φησὶ δὲ ὡς εἰσὶ μόραι ἓξ ὠνομασμέναι, καὶ διῄρηνται εἰς τὰς μόρας Λακεδαιμόνιοι πάντες. Ξενοφῶν δὲ ἐν τῇ Λακώνων πολιτείᾳ φησίν· ἑκάστη — ἑκκαίδεκα. eadem Lexic. Berol. in Aristocr. A 34 (Didym. de Demosth. p. 80, Berl. 1904).

2 σχολαίτατα Dind. ‖ 4 καὶ γοργοτέρους om. Stob. ‖ 5 μοίρας M ς Stob. ‖ μὲν διεῖλεν] ἔδειξεν Stob. ‖ 6 πολιτικῶν] ὁπλιτικῶν Stob. ‖ 7 μορῶν ἔχει Harpocrat. ἔχει μορῶν (μοιρῶν M ς Stob.) libri ‖ τέτταρας Stob. ‖ 7. 8 πεντηκοντῆρας A πεντηκοστῆρας cett. πεντηκοστύας Harpocrat. ‖ 8 ἐνωμοτάρχας C ς Harpocrat. ‖ 9 μοιρῶν M ς μερῶν Stob. ‖ 9. 10 καθίστανται [τοτὲ μὲν] εἰς ἐνωμοτίας, τοτὲ μὲν εἰς τρεῖς, τοτὲ δὲ εἰς ἕξ scribendum mihi videtur καθ. αἱ ἐνωμ. τοτὲ μὲν εἰς ἕνα, τοτὲ δὲ κτλ. Schneid. ‖ τότε ter α ς ‖ εἰς δύω ἐνωμοτίας Brodaeus ‖ ἐνωμ.] δύω μόρας sive δύω μόνας H. Christian.

6 παρέχεσθαι. οὕτω δὲ ῥᾴδιον ταύτην τὴν τάξιν μαθεῖν,
ὡς ὅστις τοὺς ἀνθρώπους δύναται γιγνώσκειν, οὐδεὶς ἂν
ἁμάρτοι· τοῖς μὲν γὰρ ἡγεῖσθαι δέδοται, τοῖς δὲ ἕπε-
σθαι τέτακται. αἱ δὲ παραγωγαὶ ὥσπερ ὑπὸ κήρυκος
ὑπὸ τοῦ ἐνωμοτάρχου λόγῳ δηλοῦνται, ⟨αἷς⟩ ἀραιαί τε
καὶ βαθύτεραι αἱ φάλαγγες γίγνονται· ὧν δὴ οὐδ' ὅπως
7 τι οὖν χαλεπὸν μαθεῖν. τὸ μέντοι κἂν ταραχθῶσι μετὰ
τοῦ παρατυχόντος ὁμοίως μάχεσθαι, ταύτην τὴν τάξιν
